
HARVARD
UNIVERSITY
LIBRARY

½

SOPHOCLIS PHILOCTETES.

DENUO RECENSUIT

BREVIQUE ANNOTATIONE CRITICA

INSTRUXIT

FREDERICUS H. M. BLAYDES, M.A. OXON.

HON. LL.D. DUBLIN. PHIL. D. BUDAPEST. SODALIS SOC. LITT. ATHEN. ETC.

AEDIS CHRISTI IN UNIVERSITATE OXONIENSI QUONDAM ALUMNUS.

HALIS SAXONUM,

IN ORPHANOTROPHEI LIBRARIA.

MDCCCCVIII.

SOPHOCLIS PHILOCTETES.

DENUO RECENSUIT

BREVIQUE ANNOTATIONE CRITICA

INSTRUXIT

FREDERICUS H. M. BLAYDES, M.A. OXON.


HON. LL.D. DUBLIN. PHIL. D. BUDAPEST. SODALIS SOC. LITT. ATHEN. ETC.

AEDIS CHRISTI IN UNIVERSITATE OXONIENSI QUONDAM ALUMNUS.

HALIS SAXONUM,

IN ORPHANOTROPHEI LIBRARIA

MDCCCCVIII.


HARVARD COLLEGE
APR 13 1910
LIBRARY

AD LECTOREM.

Ut hanc meam Sophoclis editionem ad finem perducerem duae aliae fabulae edendae restabant, Philoctetes videlicet et Trachiniae. Annotationes meae in has fabulas jamdudum scriptae erant et in scriniis meis conservatae ad manum erant, sed ingravescente senectute visuque meo magis magisque in dies deficiente conscius mihi factus sum non amplius me meis ipsius viribus hoc opus, quod magnam mentis intentionem et laborem postulat, non posse perficere. Omnes enim fabulae Sophocleae quae supersunt etiam post tot virorum doctorum curas adeo multis vitiis scatent ut lectio earum saepe admodum difficilis sit. Praeterea ipse Sophoclis stylus valde insolitus et obscurus est, omnino diversus ab Euripideo, qui valde simplex et lucidus est. Exemplorum gratia adduci possunt mirae locutiones, *ἄτιμον βαλεῖν (τινα), ἄθαπτον βαλεῖν (τινα), ἄθαπτον ὠθεῖν (τινα), ἐν σμικρῷ μέρει ποιεῖσθαι (τινα),* et vocabulum *κακότης* (miseria). Non raro modo tam inusitato se exprimit ut non nisi ex totius loci contextu conjici possit quid dicere voluerit poeta. Multae quidem leviores corruptelae jamdudum correctae sunt, sed larga graviorum vitiorum copia hodie restat quae editorum diligentiam et perspicacitatem effugerunt, et manum emendatricem exspectant fortasse ad pristinam integritatem nunquam restituenda. Haec vitia diligenti styli Sophoclei, qui valde peculiaris est, indagare et quantum potui tollere conatus sum. Has ob causas alienam opem petere coactus sum, quam benigne mihi praebuerunt duo viri docti, Prof. Friedr. Ulrich et J. A. Coghlan. Ipse jam nonagesimum annum agens, quo aetatis anno Sophocles uvae acino,

ut fertur, strangulatus obiit, 'vitai lampada' mox aliis traditurus nunc demum Graecarum litterarum, quae tantam mihi voluptatem praebuerunt, cultum terminare coactus sum, aliis gravioris momenti rebus animum daturus.

Junii die 28 1908.

F. H. M. Blaydes, LLD.
"Brooklyn". 19. St Edward's Rd.
Southsea. England.

ΣΟΦΟΚΛΕΟΥΣ

ΦΙΛΟΚΤΗΤΗΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΔΥΣΣΕΥΣ.
ΧΟΡΟΣ.
ΣΚΟΠΟΣ ὡς ΕΜΠΟΡΟΣ.
ΝΕΟΠΤΟΛΕΜΟΣ.
ΦΙΛΟΚΤΗΤΗΣ.[1])
ΗΡΑΚΛΗΣ.

[1]) ΦΙΛΟΚΤΗΤΗΣ] Cf. Ajax 1360. κτᾶσθαι φίλους, et nomen proprium Θεοδέκτης.

ΦΙΛΟΚΤΗΤΟΥ ΥΠΟΘΕΣΙΣ.

Ἀπαγωγὴ Φιλοκτήτου ἐκ Λήμνου εἰς Τροίαν ὑπὸ Νεοπτολέμου καὶ Ὀδυσσέως καθ' Ἑλένου μαντείαν, ὃς κατὰ μαντείαν Κάλχαντος, ὡς εἰδὼς χρησμοὺς συντελοῦντας πρὸς τὴν Τροίας ἅλωσιν, ὑπὸ Ὀδυσσέως νύκτωρ ἐνεδρευθεὶς, δέσμιος ἤχθη τοῖς Ἕλλησιν. ἡ δὲ σκηνὴ ἐν Λήμνῳ. ὁ δὲ χορὸς ἐκ γερόντων τῶν Νεοπτολέμῳ συμπλεόντων. κεῖται δὲ καὶ παρ' Αἰσχύλῳ ἡ μυθοποιία. ἐδιδάχθη ἐπὶ Γλαυκίππου. πρῶτος ἦν Σοφοκλῆς.

ΥΠΟΘΕΣΙΣ ΕΜΜΕΤΡΟΣ.

Χρύσης Ἀθηνᾶς βωμὸν ἐπικεχωσμένον,
ἐφ' οὗπερ Ἀχαιοῖς χρησθὲν ἦν θῦσαι, μόνος
Ποίαντος ᾔδει παῖς ποθ' Ἡρακλεῖ συνών.
ζητῶν δὲ τοῦτον ναυάτῃ δεῖξαι στόλῳ,
πληγεὶς ὑπ' ἔχεως, ἐλίπετ' ἐν Λήμνῳ νοσῶν.
Ἕλενος δ' Ἀχαιοῖς εἶφ', ἁλώσεσθ' Ἴλιον
τοῖς Ἡρακλέους τόξοισι παιδί τ' Ἀχιλλέως.
τὰ τόξ' ὑπῆρχε παρὰ Φιλοκτήτῃ μόνῳ·
πεμφθεὶς δ' Ὀδυσσεὺς ἀμφοτέρους συνήγαγεν.

ΟΔΥΣΣΕΥΣ.

Ἀκτὴ μὲν ἥδε τῆς περιρρύτου χθονὸς
Λήμνου, βροτοῖς ἄστιπτος οὐδ' οἰκουμένη,
ἔνθ', ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφεὶς
Ἀχιλλέως παῖ Νεοπτόλεμε, τὸν Μηλιᾶ
Ποίαντος υἱὸν ἐξέθηκ' ἐγώ ποτε,
ταχθεὶς τόδ' ἔρδειν τῶν ἀνασσόντων ὕπο,
νόσῳ καταστάζοντα διαβόρῳ πόδα·
ὅτ' οὔτε λοιβῆς ἡμὶν οὔτε θυμάτων
παρῆν ἑκήλοις προσθιγεῖν, ἀλλ' ἀγρίαις
κατεῖχ' ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις,
βοῶν, στενάζων. ἀλλὰ ταῦτα μὲν τί δεῖ
λέγειν; ἀκμὴ γὰρ οὐ μακρῶν ἡμῖν λόγων,
μὴ καὶ μάθῃ μ' ἥκοντα κἀκχέω τὸ πᾶν
σόφισμα, τῷ νιν αὐτίχ' αἱρήσειν δοκῶ.
ἀλλ' ἔργον ἤδη σὸν τὰ λοίφ' ὑπηρετεῖν,
σκοπεῖν θ' ὅπου 'στ' ἐνταῦθα δίστομος πέτρα
τοιάδ', ἵν' ἐν ψύχει μὲν ἡλίου διπλῆ
πάρεστιν ἐνθάκησις, ἐν θέρει δ' ὕπνον
δι' ἀμφιτρῆτος αὐλίου πέμπει πνοή.
βαιὸν δ' ἔνερθεν ἐξ ἀριστερᾶς τάχ' ἂν

2. ἄστιπτος] ἄστιπτος L. aliique. ἄστειπτος al. et Suidas s. h. v. I. q. ἀστιβής. Similiter ἄφυκτος. Cf. ad 33. O. C. 467. κατέστειψας (κατέστιψας male L.). Arist. Ach. 180. στιπτοί (sic omnes mss.). Hesych. v. στιπτῆς ἕδρας.

3. Qu. κρατίστου ('κ) πατρὸς — τραφείς. Cf. Aj. 557. οἷος ἐξ οἵου 'τράφης. 1229. τραφεὶς — μητρὸς εὐγενοῦς ἄπο. Aut κρατίστου πατρὸς — γεγὼς, coll. Adesp. 9, 2. ἀρίστου (ἀρίστου 'κ?) πατρὸς Ἑλλήνων γεγώς.

6. 7. Transposuerit Nauck.

8. ἧμιν L., ut solet.

ἴδοις ποτὸν κρηναῖον, εἴπερ ἐστὶ σῶν.
ἅ μοι προσελθὼν σῖγα σήμαιν' εἴτ' ἔχει
χῶρον τὸν αὐτὸν τόνδ' ἔτ' εἴτ' ἄλλῃ κυρεῖ,
ὡς τἀπίλοιπα τῶν λόγων σὺ μὲν κλύῃς,
ἐγὼ δὲ φράζω, κοινὰ δ' ἐξ ἀμφοῖν ἴῃ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἄναξ Ὀδυσσεῦ, τοὔργον οὐ μακρὰν λέγεις·
δοκῶ γὰρ οἷον εἶπας ἄντρον εἰσορᾶν.
ΟΔ. ἄνωθεν, ἢ κάτωθεν; οὐ γὰρ ἐννοῶ.

21. *ποτὸν κρηναῖον*] I. e. fontem. Cf. Tr. 14. *κρουνοὶ διερραίνοντο κρηναίου ποτοῦ.* *εἴπερ ἐστὶ σῶν*] Cf. Eur. Rhes. 525. *εἴπερ ἐστὶ σῶς.* Legendum forsan *εἴπερ ἐστὶ νῶν* (i. e. *νάει*). (Cf. 412. *οὐκ ἦν ἔτι ζῶν.*) Qu. *εἴπερ ἔστ' ἔτι,* aut *νεῖπερ ἔστι νῦν,* aut *εἴπερ νᾷ γ' ἔτι.* Cf. Hom. Od. 6, 292. *ἐν δὲ κρήνη νάει.* Il. 21, 197. *καὶ φρείατα μακρὰ νάουσιν.* *σῶν*] I. e. servatum, non desiccatum, ut tempore praesertim aestivo desiccari solent fontes. Ipsi fontes memorantur vv. 21. et 1461.

22. *σήμαιν' εἴτ'* mss. *σημαίνειν* Porson. Nihil opus. *εἴτ' ἔχει* mss. Dind. Post *ἔχει* duae litterae erasae in L. *εἴτ' ἐκεῖ* Herm. Nauck. *ἔχει χῶρον* —] I. e. habitat, occupat, sc. Philoctetes. Cf. 157. *τίν' ἔχει στίβον;* Cf. 154. *λέγε — χῶρον τίν' ἔχει.* O. C. 37. *ἔχεις γὰρ χῶρον οὐχ ἁγνὸν πατεῖν.* *ἔχει χῶρον πρὸς αὐτὸν* (*πρὸς* om. B.) mss. *ἔχει χῶρον τὸν αὐτὸν* Bl. Cf. 154. *λέγε — χῶρον τίν' ἔχει.* Paleius reddit 'keeps near this same spot', coll. Aesch. Pr. 348. *ὃς πρὸς ἑσπέρους τόπους ἕστηκε.* Veram esse correctionem *τὸν* ostendit quod sequitur *αὐτὸν,* quod sine articulo ineptum hic foret. Nimirum *τὸν* post simile vicinum *-ρον* exciderat (deest enim in B.), postea metri sustinendi causa interpolatum est *πρός.* *τόνδε γ'* mss. al. *τόνδ'* L. *τόνδ' ἔτ'* Elmsl. *τοῦτον* Nauck. Qu. *τόνδ' ἔτ',* aut *χώρῳ πρὸς αὐτῷ τῷδ' ἔτ'.* Cf. 128. *τοῦτον τὸν αὐτὸν ἄνδρα.* *ἄλλῃ κυρεῖ*] Sub. *ὤν.* Sic El. 1409. *ποῦ ποτ' ὢν κυρεῖς;* Cf. 444. Aj. 984. *ποῦ μοι γῆς κυρεῖ τῆς Τρῳάδος;*

25. *εἴῃ* mss. *ἴῃ* Canter.

26. *τοὔργον οὐ μακρὰν λέγεις*] Anglice 'the matter which you speak of is not far to seek', Similiter Aesch. Ag. 1650. *τοὔργον οὐ μακρὰν λέγεις.*

ΝΕ. τόδ' ἐξύπερθε, καὶ στίβου γ' οὐδεὶς κτύπος.
ΟΔ. ὅρα καθ' ὕπνον μὴ κατακλιθεὶς κυρῇ.
ΝΕ. ὁρῶ κενὴν οἴκησιν ἀνθρώπων δίχα.
ΟΔ. οὐδ' ἔνδον οἰκοποιός ἐστί τις τρυφή;
ΝΕ. στιπτή γε φυλλὰς ὡς ἐναυλίζοντί τῳ.
ΟΔ. τὰ δ' ἄλλ' ἔρημα, κοὐδέν ἐσθ' ὑπόστεγον;
ΝΕ. αὐτόξυλόν γ' ἔκπωμα, φλαυρουργοῦ τινὸς
τεχνήματ' ἀνδρός, καὶ πυρεῖ' ὁμοῦ τάδε.
ΟΔ. κείνου τὸ θησαύρισμα σημαίνεις τόδε.
ΝΕ. ἰοὺ ἰού· καὶ ταῦτά γ' ἄλλα θάλπεται
ῥάκη, βαρείας του νοσηλείας πλέα.
ΟΔ. ἀνὴρ κατοικεῖ τούσδε τοὺς τόπους σαφῶς,
κἄστ' οὐχ ἑκάς που· πῶς γὰρ ἂν νοσῶν ἀνὴρ
κῶλον παλαιᾷ κηρὶ ποι βαίη μακράν;

29. τόδ' ἐξύπερθε, καὶ — mss. Qu. τόδ' ἐξύπερθέ (aut τόδ' ἔσθ' ὕπερθέ) σοι (aut θ' ἐστὶν), στίβου δ' —. Parum convenit hic particula καί. τ' mss. γ' Tricl. κτύπος] τύπος v. l.

30. καταυλισθεὶς L. κατακλιθεὶς al. κυρῇ mss. κυρεῖ Schaef. Nauck. I. e. vide num dormiat. Fortasse recte. Cf. 46. 494. 519. Aj. 278. Ant. 278. 1114. et ad 1253. τάχ' εἰσόμεσθα μή τι καὶ κατάσχετον | κρυφῇ καλύπτει καρδίᾳ. O. R. 767. 1011. O. C. 1179. σκόπει | μή σοι πρόνοι' ᾖ τοῦ θεοῦ φυλακτέα. El. 581. 584. ἀλλ' εἰσόρα μὴ σκῆψιν οὐκ οὖσαν τιθῇς (τίθης Porson). 1004. Tr. 550. 663. Eur. Alc. 1127. ὅρα γε μή τι φάσμα νερτέρων τόδ' ᾖ. Ph. 92. ἐπίσχες, ὡς ἂν προυξερευνήσω στίβον, | μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται, | κἀμοὶ μὲν ἔλθῃ — ψόγος, κτλ. Recte se habet τιθῇς.

32. τροφή mss. τρυφή Welcker. ἔστ' ἐπιστροφή Dind. Lege τρυφή.

33. στιπτή L. aliique et Suid. s. v. στιπτοί. στειπτή al. et Eust. p. 778, 54. (Cf. ad 2. Arist. Ach. 180.) στρωτή Hart. Nauck.

36. τεχνήματ' ἀνδρὸς] Quidni ἀνδρὸς τέχνημα? κυρεῖ (i. e. num dormiat) malit Schaefer. Fortasse recte. Ita certe Eur. Ph. 9. Cf. 519. ὅρα σὺ μὴ — οὐκέθ' αὐτὸς — φανῇς. Fr. 106 D. ὅρα μὴ κρεῖσσον ᾖ. Ant. 278. O. C. 1180. et ad Ant. 1253.

38. καὶ ταῦτά γ'] Qu. κἀνταῦθά γ'. θάλπεται] Nauckio sine causa suspectum.

40. ἀνὴρ L.

42. προσβαίη mss. ποι βαίη Bl. Corrigendum olim suspicabar προυκβαίη (sc. ἐκ τοῦ ἄντρου). Cf. v. προυξερευνᾶν Eur. Ph. 92.

ἀλλ' ἢ 'πὶ φορβὴν νόστον ἐξελήλυθεν,
ἢ φύλλον εἴ τι νώδυνον κατεῖδέ που.
τὸν οὖν παρόντα πέμψον ἐς κατασκοπήν,
μὴ καὶ λάθῃ με προσπεσών· ὡς μᾶλλον ἂν
ἕλοιτ' ἔμ' ἢ τοὺς πάντας Ἀργείους βαλεῖν.
ΝΕ. ἀλλ' ἔρχεταί τε καὶ φυλάξεται στίβος.
σὺ δ', εἴ τι χρῄζεις, φράζε δευτέρῳ λόγῳ.
ΟΔ. Ἀχιλλέως παῖ, δεῖ σ' ἐφ' οἷς ἐλήλυθας
γενναῖον εἶναι, μὴ μόνον τῷ σώματι,
ἀλλ', ἤν τι καινὸν ὧν πρὶν οὐκ ἀκήκοας
κλύῃς, ὑπουργεῖν ὡς ὑπηρέτην πρέπει.
ΝΕ. τί δῆτ' ἄνωγας; ΟΔ. τὴν Φιλοκτήτου σε δεῖ
ψυχὴν ὅπως λόγοισιν εὖ κλέψεις ὁρᾶν.
ὅταν σ' ἐρωτᾷ τίς τε καὶ πόθεν πάρει,

43. *ἢ 'πὶ φορβῆς* —] Qu. *ἢ 'πὶ φορβὴν* (Angl. in search of food) *νόστον ἐξελήλυθεν*. Sed cf. Plat. Phaedr. 227. *πορεύομαι πρὸς περίπατον ἔξω τείχους*. Ant. 1184. *πρὸς ἔξοδον στείχουσα*. Sed Aj. 287. *ἐμαίετ' — ἐξόδους ἕρπειν κενάς* (*κακάς*?). *νόστον*] Nauckio suspectum. Qu. *μαστὺν*, quae vox legitur Callim. Fr. 277. *μαστήρ* O. C. 456. Tr. 733. Eur. Bacch. 986. *μάστειρα* Aesch. Suppl. 163.

44. *κάτοιδέ* mss. Lege *κατεῖδε* (he has spied).

45. *εἰς* mss. *ἐς* Dind.

46. *με προσπεσών*] Qu. *μοι* —. Sed cf. 485. *προσπίτνω σε γόνασι.*

47. *ἕλοιτό μ'* mss. Correxi *ἕλοιτ' ἔμ'*.

49. Qu. *δευτέρῳ 'ν λόγῳ*. Cf. ad 435.

50—53 sq. *δεῖ σ' — ἄνωγας;*] Haec ut interpolata proscribit Nauck.

51. Cf. Aristid. I. p. 186. *τὸν χρησμὸν εἰς τοῦτο φέρειν* (l. *ῥέπειν*).

53. *ὡς ὑπηρέτης πάρει* mss. Lege *ὡς ὑπηρέτην πρέπει*. Cf. 93.

55. *λόγοισιν* mss. *δόλοισιν* Erf. Fortasse recte, sed cf. 579. *τί με — διεμπολᾷ λόγοισι —;* Cf. ad 563. Qu. *δόλοισιν* ut in 91. 101., sed non temere rejiciendum est *λόγοισιν*. *ἐκκλέψεις* unus ms. *ἐκκλέψῃς* L. et cet. Lege *εὖ* (callide) *κλέψεις*. I. e. *ἀπατήσεις*. Cf. 968. *ἐκκλέψας ἐμέ*. *λέγων* mss. Lege *ὁρᾶν*, et sic Dind. *σκοπεῖν* (et *δόλοισιν* pro *λόγοισιν*) conj. Pal. Vix enim credibile est *λόγοισιν* — *λέγων* scripsisse poetam, neque bene omitti potest *ὁρᾶν* aut *σκοπεῖν*. Cf. Aj. 556. *δεῖ σ' ὅπως πατρὸς* (l. *ὁρᾶν ὅπως*) | *δείξεις ἐν ἐχθροῖς οἷος ἐξ οἵου* (gl. *πατρὸς*) *'τράφης*.

λέγειν, Ἀχιλλέως παῖς· τόδ' οὐχὶ κλεπτέον·
πλεῖν δ' ὡς πρὸς οἶκον, ἐκλιπὼν τὸ ναυτικὸν
στράτευμ' Ἀχαιῶν, ἔχθος ἐχθήρας μέγα,
οἵ σ' ἐν λιταῖς στείλαντες ἐξ οἴκων μολεῖν,
μόνην ἔχοντες τήνδ' ἅλωσιν Ἰλίου,
οὐκ ἠξίωσαν τῶν Ἀχιλλείων ὅπλων
ἐλθόντι δοῦναι κυρίως αἰτουμένῳ,
ἀλλ' αὔτ' Ὀδυσσεῖ παρέδοσαν· λέγων ὅσ' ἂν
θέλῃς καθ' ἡμῶν ἔσχατ' ἐσχάτων κακά.
τούτῳ γὰρ οὐδὲν ἀλγυνεῖς μ'· εἰ δ' ἐργάσει
μὴ ταῦτα, λύπη πάντας Ἀργείους βαλεῖς.
εἰ γὰρ τὰ τοῦδε τόξα μὴ ληφθήσεται,
οὐκ ἔστι πέρσαι σοι τὸ Δαρδάνου πέδον.
ὡς δ' ἔστ' ἐμοὶ μὲν οὐχί, σοὶ δ' ὁμιλία
πρὸς τόνδε πιστὴ καὶ βέβαιος, ἔκμαθε.
σὺ μὲν πέπλευκας οὔτ' ἔνορκος οὐδενὶ
οὔτ' ἐξ ἀνάγκης οὔτε τοῦ πρώτου στόλου,
ἐμοὶ δὲ τούτων οὐδέν ἐστ' ἀρνήσιμον.
ὥστ', εἴ με τόξων ἐγκρατὴς αἰσθήσεται,
ὄλωλα καὶ σὲ προσδιαφθερῶ ξυνών.
ἀλλ' αὐτὸ τοῦτο δεῖ σοφισθῆναι, κλοπεὺς
ὅπως γενήσει τῶν ἀνικήτων ὅπλων.
ἔξοιδα, παῖ, φύσει σε μὴ πεφυκότα

57. *κλεπτέον*] *κρυπτέον* conj. Nauck.
58. *πλεῖς* mss. Lege *πλεῖν*.
61. *μόνην* aliquot mss. *μόνην δ'* L. aliique.
64. *παρέδοσαν*] Cf. 399. *λέγων*] Connecte hoc cum v. 59.
66—69. Suspecti Nauckio propter 112 sq.

66. *τούτων* mss. *τούτῳ* Buttm. *οὐδέν μ'* (*οὐδέμ'*, *ν* sup. *μ'* ab S.) *ἀλγυνεῖς* mss. *οὐδὲν ἀλγυνεῖ μ'* Dind.

67. *λύπην πᾶσιν Ἀργείοις βαλεῖς*] Vitium manifestum. Corrige *λύπῃ πάντας Ἀργείους βαλεῖς*. Frequenter sunt hujusmodi inversiones. Cf. Tr. 940. Aj. 1244. Aesch. Sept. 1048. *οὔ, πρίν γε χώραν τήνδε κινδύνῳ βαλεῖν.*

72. *ἔνορκος οὐδενὶ*] Coll. Ant. 369. *θεῶν τ' ἔνορκον δίκαν.* O. R. 656. *τὸν ἐναγῆ θεῶν.*

79. *καὶ* mss. *παῖ* Erf. Nauck. *φύσει — πεφυκότα*] Cf. Batonem Athen. IV. 163 C. *τιμιώτερον | σαυτοῦ τέθεικας ἢ πέφυκε τῇ φύσει.*

τοιαῦτα φωνεῖν μηδὲ τεχνᾶσθαι κακά.
ἀλλ' ἡδὺ γάρ τὸ κτῆμα τῆς νίκης λαβεῖν,
τόλμα· δίκαιοι δ' αὖθις ἐκφανούμεθα.
νῦν δ' εἰς ἀναιδὲς ἡμέρας μέρος βραχὺ
δός μοι σεαυτὸν, κᾆτα τὸν λοιπὸν χρόνον
κέκλησο πάντων εὐσεβέστατος βροτῶν.
ΝΕ. ἐγὼ μὲν οὓς ἂν τῶν λόγων ἀλγῶ κλύων,
Λαερτίου παῖ, τούσδε καὶ πράσσειν στυγῶ·
ἔφυν γὰρ οὐδὲν ἐκ τέχνης πράσσειν κακῆς,
οὔτ' αὐτὸς οὔθ', ὥς φασιν, οὑκφύσας ἐμέ.
ἀλλ' εἴμ' ἕτοιμος πρὸς βίαν τὸν ἄνδρ' ἄγειν
καὶ μὴ δόλοισιν· οὐ γὰρ ἐξ ἑνὸς ποδὸς
ἡμᾶς τοσούσδε πρὸς βίαν χειρώσεται.
πεμφθείς γε μέντοι σοὶ ξυνεργάτης ὀκνῶ
προδότης καλεῖσθαι· βούλομαι δ', ἄναξ, καλῶς
δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς.
ΟΔ. ἐσθλοῦ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ
γλῶσσαν μὲν ἀργὸν, χεῖρα δ' εἶχον ἐργάτιν·
νῦν δ' εἰς ἔλεγχον ἐξιὼν ὁρῶ βροτοῖς
τὴν γλῶσσαν, οὐχὶ τἄργα, πάνθ' ἡγουμένην.
ΝΕ. τί οὖν μ' ἄνωγας ἄλλο πλὴν ψευδῆ λέγειν;
ΟΔ. λέγω σε δεῖν δόλῳ Φιλοκτήτην λαβεῖν.
ΝΕ. τί δ' ἐν δόλῳ δεῖ μᾶλλον ἢ πείσαντ' ἄγειν;
ΟΔ. οὐ μὴ πίθηται· πρὸς βίαν δ' οὐκ ἂν λάβοις.
ΝΕ. οὕτως ἔχει τι δεινὸν ἰσχύος κράτος;
ΟΔ. ἰούς γ' ἀφύκτους καὶ προπέμποντας φόνον.

81. τι L. aliique. τοι aliquot mss. Dind. Correxi τὸ.

82. αὖθις ἐκφανούμεθα] Qu. αὖθις αὖ φανούμεθα.

83 sq. Cf. Eur. Ph. 1214. ἀλλὰ τήνδε γε | λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν, κἄπειτα θρήνει.

92. Spurium habet Nauck.

100. τί οὖν μ' mss. τί μ' οὖν Wakefield sine causa.

101. λέγω σ' ἐγὼ] Qu. λέγω σε δεῖν. Cf. 54. λέγω] Jubeo. Cf. Tr. 137. O. C. 840. 856. Eodem sensu ἐννέπω O. R. 350. 1381. O. C. 932.

104. θράσος mss. κράτος conj. Nauck.

105. ἰούς (γ') Dobr. Mein. Recte.

ΝΕ. οὐκ ἆρ' ἐκείνῳ 'στ' οὐδὲ προσμῖξαι θρασύ;
ΟΔ. οὔ, μὴ δόλῳ λαθόντα γ', ὡς ἐγὼ λέγω.
ΝΕ. οὐκ αἰσχρὸν ἡγεῖ δῆτα τὰ ψευδῆ λέγειν;
ΟΔ. οὔκ, εἰ τὸ σωθῆναί γε τὸ ψεῦδος φέρει.
ΝΕ. πῶς οὖν βλέπων τις ταῦτα τολμήσει λακεῖν;
ΟΔ. ὅταν τι δρᾷς ἐς κέρδος, οὐκ ὀκνεῖν πρέπει.
ΝΕ. κέρδος δ' ἐμοὶ τί τοῦτον ἐς Τροίαν μολεῖν;
ΟΔ. αἱρεῖ τὰ τόξα ταῦτα τὴν Τροίαν μόνα.
ΝΕ. οὐκ ἆρ' ὁ πέρσων σφ', ὡς ἐφάσκετ', εἴμ' ἐγώ;
ΟΔ. οὔτ' ἂν σὺ κείνων χωρὶς οὔτ' ἐκεῖνα σοῦ.
ΝΕ. θηρατέ' οὖν γίγνοιτ' ἄν, εἴπερ ὧδ' ἔχει.
ΟΔ. ὡς τοῦτό γ' ἔρξας δύο φέρει δωρήματα.
ΝΕ. ποίω; μαθὼν γὰρ οὐκ ἂν ἀρνοίμην τὸ δρᾶν.
ΟΔ. σοφός τ' ἂν αὑτὸς κἀγαθὸς κεκλῇ' ἅμα.
ΝΕ. ἴτω· ποιήσω, πᾶσαν αἰσχύνην ἀφείς.
ΟΔ. ἦ μνημονεύσεις οὖν ἅ σοι παρήνεσα;
ΝΕ. σάφ' ἴσθ', ἐπείπερ εἰσάπαξ συνήνεσα.
ΟΔ. σὺ μὲν μένων νυν κεῖνον ἐνθάδ' ἐκδέχου,

106. οὐκ ἆρ' —;] Cf. 114. οὐκ ἆρ' ὁ πέρσων, ὡς ἐφάσκετ', εἴμ' ἐγώ; Aj. 1238. οὐκ ἆρ' (ἄρ' L.) 'Αχαιοῖς ἄνδρες εἰσὶ πλὴν ὅδε; ἐκείνῳ γ' mss. Correxi ἐκείνῳ 'στ'. θρασύ] Suspectum. θρασὺ buetur Dind. collatis similibus in Thes. Gr. IV. 411. Qu. θράσος. Cf. O. C. 48. ἀλλ' οὐδ' ἐμοί τοι τοὐξανιστάναι πόλεως | δίχ' ἐστὶ θάρσος πρίν γ' ἂν ἐνδείξω τί δρῶ.

108. τὰ ψευδῆ mss. τὸ ψευδῆ Vauv. Cf. Fr. 326, 1. καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν. Aesch. Cho. 582. λέγειν τὰ καίρια. Sept. 601.

110. λακεῖν L. pr. λαλεῖν L. corr. et al.

111. εἰς plerique mss. πρὸς al. ἐς Ald. Dind.

114. ὁ περσων L. ὁ πέρσων γ' nonnulli mss., Neu. Wund. Linw. ὁ πέρσων (σφ') Bl. ἐφάσκετ'] Num ἔφασκες?

116. θηρατέα aut θηρατέα γοῦν mss. θηρατέ' οὖν Tricl. γίγνοιτ' ἂν mss. Lege γένοιτ' ἄν.

117. ὡς τοῦτό γ' ἔρξας mss. Qu. ὡς τοῦτο ῥέξας (aut δράσας).

119. αὑτὸς] αὐτὸς mss.

120. ποήσω L.

121. μνημονεύεις mss. μνημονεύσεις Herw.

123. νῦν L.

ἐγω δ' ἄπειμι, μὴ κατοπτευθῶ παρών,
καὶ τὸν σκοπὸν πρὸς ναῦν ἀποστελῶ πάλιν.
καὶ δεῦρ', ἐάν μοι τοῦ χρόνου δοκῆτέ τι
κατασχολάζειν, αὖθις ἐκπέμψω πάλιν
τοῦτον τὸν αὐτὸν ἄνδρα, ναυκλήρου τρόποις
μορφὴν δολώσας, ὡς ἂν ἀγνοία προσῇ·
οὗ δὴ σύ, τέκνον, ποικίλως αὐδωμένου
δέχου τὰ συμφέροντα τῶν ἀεὶ λόγων.
ἐγὼ δὲ πρὸς ναῦν εἶμι, σοὶ παρεὶς τάδε·
Ἑρμῆς δ' ὁ πέμπων δόλιος ἡγήσαιτο νῷν
Νίκη τ' Ἀθάνα Πολιάς, ἣ σώζει μ' ἀεί.

ΧΟΡΟΣ.

τί χρή μ', ὦ δέσποτ', ἐν ξένᾳ ξένον
στέγειν, ἢ τί λέγειν πρὸς ἄνδρ' ὑπόπταν;
φράζε μοι.
τέχνα γὰρ τέχνας ἑτέρας προὔχει
καὶ γνώμα παρ' ὅτῳ τὸ θεῖον
Διὸς σκῆπτρον † ἀνάσσεται.
σοὶ δ', ὦ τέκνον, τόδ' ἐλήλυθεν
πᾶν κράτος ὠγύγιον· τό μοι ἔννεπε
τί σοι χρεὼν ὑπουργεῖν.
* * * * * * * *
* * * *
* * * * * * *

ΝΕ. *νῦν μέν, ἴσως γὰρ τόπου ἐσχατιὰς*

127. *κατασχολάζειν*] *πέρα σχολάζειν* conj. Nauck.

130. *οὗ δῆτα* mss. Lege *οὗ δὴ σὺ* —. *αὐδωμένου*] *αὐδωμένων* conj. Nauck. Cf. 852. *αὐδῶμαι.* Aj. 772. *ηὐδᾶτο.*

134. *Ἀθηνᾶ* mss. *Ἀθάνα* Eust. Il. p. 758, 44.

135. *τί χρὴ δέσποτα μ'* mss. *τί χρή με, δέσποτ'* Tricl. Qu. *τί χρή μ', ὦ δέσποτ',* —.

136. *ὑπόπτην*] Formatum ut *ἐπόπτης, κατόπτης, διόπτης. ὑπόπταν* mss. Qu. *ὕποπτον* (sensu act.).

140. *ἀνάσσεται* mss. Qu. *ἐρέσσεται.*

141. *σὲ* mss. Lege *σοί.* Cf. v. ant. 156.

144. *ἴσως γὰρ* L. et al. *γὰρ ἴσως Γ.*

προσιδεῖν ἐθέλεις ὅντινα κεῖται,
δέρκου θαρσῶν· ὁπόταν δὲ μόλῃ
δεινὸς ὁδίτης τῶνδ' ἐκ μελάθρων,
πρὸς ἐμὴν ἀεὶ χεῖρα προχωρῶν
πειρῶ τὸ παρὸν θεραπεύειν.

ΧΟ. μέλον πάλαι μόλημά μοι λέγεις, ἄναξ,
φρουρεῖν ὄμμ' ἐπὶ σῇ μάλιστα χειρί·
νῦν δέ μοι
λέγ' αὐλὰς ποίας ἔνεδρος ναίει
καὶ χῶρον τίν' ἔχει. τὸ γάρ τοι
μαθεῖν οὐκ ἀποκαίριον,
μὴ προσπεσών με λάθῃ ποθέν.
τίς τόπος, ἢ τίς ἕδρα; τίν' ἔχει στίβον,
ἔναυλον, ἢ θυραῖον;

ΝΕ. οἶκον μὲν ὁρᾷς τόνδ' ἀμφίθυρον
πετρίνης κοίτης.

ΧΟ. ποῦ γὰρ ὁ τλήμων αὐτός; ἄπεστιν.

ΝΕ. δῆλον ἔμοιγ' ὡς φορβῆς χρείᾳ
στίβον ὀγμεύει τῇδε πέλας που.
ταύτην γὰρ ἔχειν βιοτῆς αὐτὸν
λόγος ἐστὶ φύσιν, θηροβολοῦντα
πτηνοῖς ἰοῖς [σμυγερὸν σμυγερῶς], οὐδέ τιν' αὐτῷ

145. *κεῖται*] Qu. *ναίει*.

148. *αἰεὶ* mss. *ἀεὶ* Dind.

150. *ἄναξ, τὸ σὸν* mss. *ἄναξ* Tricl. *τὸ σὸν φρουρεῖν ὄμμ'* mss. *τὸ φρουρεῖν* Nauck.

151. Lege *φρουρεῖν ὄμμ' ἐπὶ σῇ μάλιστα χειρί*. *Ὄμμα* (sc. Chori) subjectum verbi est. Cf. 149. *πρὸς ἐμὴν ἀεὶ χεῖρα προχωρῶν πειρῶ τὸ παρὸν θεραπεύειν*. Similiter Tr. 225. *ὁρῶ, φίλαι γυναῖκες, οὐδέ μ' ὄμματος φρουρὰν παρῆλθε, τόνδε μὴ λεύσσειν στόλον*. 914. *κἀγὼ λαθραῖον ὄμμ' ἐπεσκιασμένη | φρούρουν*.

154. *τὸ γάρ μοι* — mss. Lege *τὸ γάρ τοι* —.

156. *μή με λάθῃ προσπεσὼν* mss. *μὴ προσπεσών με λάθῃ* Herm.

161. Scribe *ποῦ γὰρ ὁ τλήμων αὐτός; ἄπεστιν*.

166. *στυγερὸν στυγερῶς* mss. *σμυγερὸν σμυγερῶς* Br., coll. Hesych. et Eust. p. 315, 4. Per *ἐπιπόνως* sine lemmate explicat schol. Qu. *μογερὸν μογερῶς*. Cf. Elect. 93. *στυγεραὶ εὐναὶ μογερῶν οἴκων*.

παιῶνα κακῶν ἐπινωμᾶν.
ΧΟ. οἰκτείρω νιν ἔγωγ', ὅπως,
μή του κηδομένου βροτῶν
μηδὲ ξύντροφον ὄμμ' ἔχων,
δύστανος, μόνος ἀεί,
νοσεῖ μὲν νόσον ἀγρίαν,
ἀλύει δ' ἐπὶ παντί τῳ
χρείας ἱσταμένῳ. πῶς ποτε πῶς δύσμορος ἀντέχει;
ὦ παλάμαι θεῶν,
ὦ δύστανα γένη βροτῶν,
οἷς μὴ μέτριος αἰών.
οὗτος πρωτογόνων ἴσως
οἴκων οὐδενὸς ὕστερος,
πάντων ἄμμορος ἐς βίον
κεῖται μοῦνος ἀπ' ἄλλων,

169. Cf. Aj. 510. *οἴκτειρε — ὅσον κακὸν | κείνῳ — νεμεῖς.*

171. *σύντροφον* mss. *ξύντροφον* Br.

174. *ἐπὶ παντί τῳ χρείας ἱσταμένῳ*] 'Upon every kind of need that arises'. Paleius explicat per *ἐπὶ πάσῃ τινὶ προσόδῳ* (aut *ἐφόδῳ*). Sic *ἐν τῷ ξυμφορᾶς, ἐν τῷ πράγματος;*

175. *ἱσταμένῳ*] Anglice as it arises, on its occurrence.

177. *παλάμαι θνητῶν*] Cf. Theogn. 624. *βιότου παλάμαι.* Anglice 'resources, contrivances', cum respectu ad *πῶς δύσμορος ἀντέχει.* *θνητῶν* mss. *θεῶν* Lachmann. Contra metrum peccat *θνητῶν.*

179. *μέτριος*] Tolerabilis.

180. *ἴσως* mss. *γεγὼς* sine causa Nauck. Construe *ἴσως ὕστερος οὐδενὸς πρωτογόνων οἴκων.* Cf. Tr. 301. *αἳ πρὶν μὲν ἦσαν ἐξ ἐλευθέρων ἴσως | ἀνδρῶν* (f. *οἴκων*) —. 314. *ἴσως | γέννημα τῶν ἐκεῖθεν οὐκ ἐν ὑστάτοις.* Aj. 1009.

181. *οἴκων* mss. Wund. Dind. Pal. *ἥκων* Br. Pors. Lob. Cf. Aj. 636. *ἐκ πατρῴας ἥκων γενεᾶς ἄριστος* (*ἀρίστας?*). *ὕστερος*] Inferior. Cf. Ant. 746. *ὦ μιαρὸν ἦθος καὶ γυναικὸς ὕστερον.* Herod VI. 51. *ἐὼν βασιλεὺς, οἰκίης δὲ — ὑποδεεστέρης* (*ὑποδεέστερος* unus ms.). Cf. Ant. 594. *Λαβδακιδᾶν οἴκων.*

182. *ἐν βίῳ* mss. Correxi *ἐς βίον.*

183. *μοῦνος ἀπ' ἄλλων* mss. Qu. *μοῦνος ἑταίρων.* Cf. Aj. 511. *σοῦ διοίσεται μόνος.* O. C. 1250. *ἀνδρῶν γε μοῦνος.* Cum hoc loco

στικτῶν ἢ λασίων μετὰ
θηρῶν, ἔν τ' ὀδύναις ὁμοῦ
λιμῷ τ' οἰκτρὸς ἀνήκεστα μεριμνήματ' ἔχων βοᾷ·
ἁ δ' ἀθυρόστομος
ἀχὼ τηλεφανὴς πικραῖς
οἰμωγαῖς ὑπακούει.
ΝΕ. οὐδὲν τούτων θαυμαστὸν ἐμοί·
θεῖα γάρ, εἴπερ κἀγώ τι φρονῶ,
καὶ τὰ παθήματα κεῖν' ἐπὶ ταῦτον
τῆς ὠμόφρονος Χρύσης ἐπέβη,
καὶ νῦν ἃ πονεῖ δίχα κηδεμόνων,
οὐκ ἔστιν ὅπως οὐ θεῶν μελέτη,

mire congruit Horatii locus Serm. II. 5, 69. 'Invenietque | nil sibi legatum praeter plorare suisque.'

184. μετὰ] μέτα (sic) L. πέλας Lehrs.

187. βαρεῖα δ' mss. βαρεῖ. ἁ δ' Boeckh. Dind. βαρέα· ἁ δ' Schneid. βορᾶς· ἁ δ' M. Seyffert.

188. ἀθυρόστομος] ἀθυροστομοῦσ' Weckl. Cf. Eur. Or. 893. ἀθυρόγλωσσος.

189. ἀχὼ τηλεφανὴς] Cf. 202. προυφάνη κτύπος. 216. τηλωπὸς ἰωά (ἰυγά?).

190. πικρᾶς οἰμωγᾶς ὑπόκειται (ὑπὸ κειται sic L. pr.) mss. πικρὰς οἰμωγὰς ὑποκλαίει Pflugk. Nauck. πικραῖς οἰμωγαῖς ὑπακούει (respondet) Schneid. Qu. λυγρὰς οἰμωγὰς, ut in Aj. 317. οἰμωγὰς λυγράς. ὑπόκειται mss. ὑπακούει Br. Schaef. Schneid. ὑπ' ὀχεῖται Herm. Dind. Ellendt. Pal. Respondet. Qu. ἀποπέμπει (remittit, Anglice sends back) aut παραπέμπει. Fort. ὕπο χεῖται. Cf. Aesch. Cho. 449. χέουσα — γόον. Sept. 73. πόλιν — Ἑλλάδος φθόγγον χέουσαν.

192. θεῖα] 'Ab deis inflicta'.

193. παθήματ' ἐκεῖνα mss. παθήματα κεῖνα Br. ἐκεῖνα πρὸς αὐτὸν — ἐπέβη mss. Lege κεῖν' ἐπὶ τοῦτον —. Cf. 190. ἁ δ' ἀθυρόστομος ἀχὼ — πικρὰς οἰμωγὰς ὑπόκειται (ἀποπέμπει?). 1460. πολλὰ δὲ φωνῆς τῆς ἡμετέρας | Ἑρμαῖον ὄρος παρέπεμψεν ἐμοὶ | στόνον ἀντίτυπον χειμαζομένῳ.

196. οὐκ ἔσθ' ὅπως mss. οὐκ ἔσθ' ὡς Porson. Lege οὐκ ἔστιν ὅπως. Cf. ad Ant. 750. οὐ θεῶν του μελέτη mss. Lege οὐ θεῶν μελέτη. Monosyllabum est θεῶν.

τοῦ μὴ πρότερον τόνδ' ἐπὶ Τροίᾳ
τεῖναι τὰ θεῶν ἀμάχητα βέλη,
πρὶν ἂν ἐξήκῃ χρόνος, ᾧ λέγεται
χρῆναί σφ' ὑπὸ τῶνδε δαμῆναι.
ΧΟ. εὔστομ' ἔχε, παῖ. ΝΕ. τί τόδε; ΧΟ. προυφάνη κτύπος
φωτὸς σύντροφος ὡς τειρομένου του,
ἤ που τῇδ' ἢ τῇδε τόπων.
βάλλει βάλλει τίς με λυγρὰ
φθογγά του στίβον κατ' ἀνάγκαν
ἕρποντος, οὐδέ με λάθει
βαρεῖα τηλόθεν αὐδὰ
τρυσάνωρ· διάσημα γὰρ θροεῖ τις.
ΧΟ. ἀλλ' ἔχε — τέκνον, ΝΕ. λέγ' ὅ τι. ΧΟ. φροντίδας νέας·
ὡς οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνήρ,
οὐ μολπὰν σύριγγι χέων,
ὡς ποιμὴν ἀγροβάτας,
ἀλλ' ἤ που πταίων ὑπ' ἀνάγκας
βοᾷ τηλωπὸν ἰυγάν,

197. *ἐπὶ Τροίᾳ* mss. Qu. *ἐπὶ Τροίαν.*

199. *πρὶν ὅδ' ἐξήκοι χρόνος* mss. Lege *πρὶν ἂν ἐξήκῃ χρόνος.*

203. *του* addidit Porson. Cf. 206.

204. Hunc versum Neoptolemo, sequentem choro tribuit L. Correxit Herm. *ἢ που* mss. *ἤ που* Herm.

205. *βάλλει βάλλει, μ' ἐτύμα* (*ἑτοίμα* L. et al.) *φθογγὰ* — mss. Requireretur *ἔτυμος* —. Cf. Arist. Pac. 114. Eur. Iph. A. 795. Eur. Fr. 17. El. 813. Hel. 357. Sed latet aliud quid. Qu. *βάλλει βάλλει τίς με λυγρὰ* —.

206. *στίβου* mss. *στίβον* (*ἕρποντος*) Schneid. Pal.

209. *γὰρ θροεῖ* mss. *θροεῖ γὰρ* Tricl. *γὰρ θρηνεῖ* Dind. Qu. *θροεῖ τις.* Cf. metrum v. 218.

213. *μολπὰν σύριγγος ἔχων* mss. *μολπαν συριγγος ἔχων* mss. Qu. *μολπὰς σύριγγι χέων.* Cf. Hesiod. Scut. 396. *χέει αὐδήν* (*τέττιξ*).

214. *ἀγροβότας* mss. Corrigendum, ni fallor, *ἀγροβάτας.* Cf. Eur. Cycl. 54. *Κύκλωπος ἀγροβότα* (*ἀγροβάτα* al.). Theocr. 25, 23. 168. etc.

216. *ἰωάν* mss. Lege *ἰυγάν* (ab *ἰύζω*). Cf. 189. *ἠχὼ τηλεφανής.* 752. *τοσήνδ' ἰυγὴν καὶ στόνον σαυτοῦ ποιεῖς.* Tr. 787. *βοῶν, ἰύζων.*

ἢ ναὸς ἄξενον αὐγά-
ζων ὅρμον· προβοᾷ γὰρ αἴλινον.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἰὼ ξένοι,
τίνες ποτ' ἐς γῆν τήνδε κἀκ ποίας πάτρας
κατέσχετ' οὔτ' εὔορμον οὔτ' οἰκουμένην;
ποίας ἂν ὑμᾶς πατρίδος ἢ γένους ποτὲ
τύχοιμ' ἂν εἰπών; σχῆμα μὲν γὰρ Ἑλλάδος
στολῆς ὑπάρχει προσφιλεστάτης ἐμοί·
φωνῆς δ' ἀκοῦσαι βούλομαι· καὶ μή μ' ὄκνῳ
δείσαντες ἐκπλαγῆτ' ἀπηγριωμένον,
ἀλλ' οἰκτίσαντες ἄνδρα δύστηνον, μόνον,
ἔρημον ὧδε κἄφιλον κακούμενον,
φωνήσατ', εἴπερ ὡς φίλοι προσέσχετε.
ἀλλ' ἀνταμείψασθ'· οὐ γὰρ εἰκὸς οὔτ' ἐμὲ
ὑμῶν ἁμαρτεῖν τοῦτό γ' οὔθ' ὑμᾶς ἐμοῦ.
NE. ἀλλ', ὦ ξέν', ἴσθι τοῦτο πρῶτον, οὕνεκα
Ἕλληνές ἐσμεν· τοῦτο γὰρ βούλει μαθεῖν.
ΦΙ. ὦ φίλτατον φώνημα· φεῦ, τὸ μὴ λαβεῖν

217. *ναὸς ἄξενον*] Qu. *ναυσὶν ἄξενον*. Cf. 221.

218. *γάρ τι* mss. *προβοᾷ γὰρ αἴλινον* Lachmann. *προβοᾷ τι γὰρ δεινὸν* Wund. Dind. Schn. *προβοᾷ δέ τι δεινὸν* Herm. Qu. *προβοᾷ τι γὰρ* ⏑ – (*μέγα*?).

220. *κἀκ ποίας πάτρας* L. et Lb. *ναυτίλῳ πλάτῃ* al. (Sc. ex v. 222.) *κἀκ ποίας τύχης* Nauck.

222. *πάτρας ἂν ὑμᾶς* mss. *ἂν ὑμᾶς πατρίδος* Dind.

224. Spurium habet Nauck.

226. *ἀπηγριωμένον*] Fort. *ἄτ' ἠγριωμένον*.

228. *κἄφιλον καλούμενον* mss. *κακούμενον* Br. *καὶ φίλων τητώμενον* Seyffert. Qu. *κἄφιλον κακούμενον* (*πονούμενον*), aut *πολούμενον*, aut *κἀλώμενον*.

229. *προσήκετε* mss. Lege *προσέσχετε*.

231. *ἁμαρτεῖν τοῦτό γ'* mss. Lege — *τοῦδέ γ'*.

234. *φεῦ τὸ καὶ λαβεῖν* mss. Sed non dubito quin corrigendum sit *φεῦ, τὸ μὴ λαβεῖν* . . *φεῦ* dolentis, non gamdentis, excalmatis est. Displicet etiam particula *καί*. Sensus hujus loci manifesto hic est, 'Alas! to think that during this long epace of time I should not hawe been addrewed (spokuto by sueh a man as this.'

πρόσφθεγμα τοιοῦδ' ἀνδρὸς ἐν χρόνῳ μακρῷ.
τίς σ', ὦ τέκνον, ποτ' ἔσχε, τίς προσήγαγε
χρεία; τίς ὁρμή; τίς ἀνέμων, ὦ φίλτατε;
γέγωνέ μοι πᾶν τοῦθ', ὅπως εἰδῶ τίς εἶ.
ΝΕ. ἐγὼ γένος μέν εἰμι τῆς περιρρύτου
Σκύρου· πλέω δ' ἐς οἶκον· αὐδῶμαι δὲ παῖς
Ἀχιλλέως, Νεοπτόλεμος. οἶσθ' ἤδη τὸ πᾶν.
ΦΙ. ὦ φιλτάτου παῖ πατρὸς, ὦ 'κ φίλης χθονὸς,
ὦ τοῦ γέροντος θρέμμα Λυκομήδους, τίνι
στόλῳ προσέσχες τήνδε γῆν, πόθεν πλέων;
ΝΕ. ἐξ Ἰλίου 'γὼ δὴ τανῦν γε ναυστολῶ.
ΦΙ. πῶς εἶπας; οὐ γὰρ δὴ σύ γ' ἦσθα ναυβάτης
ἡμῖν κατ' ἀρχὴν τοῦ πρὸς Ἴλιον στόλου.
ΝΕ. ἦ γὰρ μετέσχες καὶ σὺ τοῦδε τοῦ στόλου;
ΦΙ. ὦ τέκνον, οὐ γὰρ οἶσθά μ' ὅντιν' εἰσορᾷς;
ΝΕ. πῶς γὰρ κάτοιδ' ὅν γ' εἶδον οὐδεπώποτε;
ΦΙ. οὐδ' ὄνομα τοὐμὸν οὐδ' ἐμῶν κακῶν κλέος
ᾔσθου ποτ' οὐδὲν, οἷς ἐγὼ διωλλύμην;
ΝΕ. ὡς μηδὲν εἰδότ' ἴσθι μ' ὧν ἀνιστορεῖς.
ΦΙ. ὦ πόλλ' ἐγὼ μοχθηρὸς, ὦ 'χθιστος θεοῖς,

236. *τίς σ', ὦ τέκνον, προσέσχε* mss. *τίς, ὦ τέκνον, σε τόλμα,* — Nauck. *προσέσχε* mss. Schol. *προσορμίσαι ἐποίησεν.* Lege *ποτ' ἔσχε* (sc. *χρεία*). Cf. ad Arist. Ach. 454. Conferri non debet, opinor, v. 244. *τίνι | στόλῳ προσέσχες τήνδε γῆν —;* Transitivum usum verbi *προσέχειν* ut insolitum jure miratur Pal. *προσήγαγεν* mss.

237. *ὁ φίλτατος* mss. Qu. *ὦ φίλτατε.*

241. *οἶσθ' ἤδη* L. et (corr. *οἶσθα δὴ*) A. *οἶσθα δὴ* cet.

242. Nonne *ὦ* (*'κ*) *φίλης χθονός*? Alioqui non liquet unde pendeat genitivus.

245. *ἐξ Ἰλίου τοι* mss. Correxi *ἐξ Ἰλίου 'γὼ* *δῆτα νῦν* mss. *δὴ τὰ νῦν* Buttmann. Nauck. Recte.

248. *πόνου* mss. Correxi *στόλου.*

251. *οὐδ' ὄνομ'* (*οὔνομ'* al.) mss. *οὐδ' ὄνομ' ἄρ'* Erf. Correxi *οὐδ' ὄνομα τοὐμόν.* *οὐδ' ἐμῶν κακῶν κλέος* mss. Qu. *οὐδ' ἐμῶν κακῶν κλέος.* 252. *πότ'* (sic) L.

254. *ὢ — ὢ* (sic) L. *ὦ πικρὸς θεοῖς* mss. "Dis invisus" vertit Coghlan. *ὦ στυγνὸς θεοῖς* conj. Nauck. Qu. *ὦ 'χθιστος θεοῖς.*

οὔ μηδὲ κληδὼν ὧδ᾽ ἔχοντος οἴκαδε
μηδ᾽ Ἑλλάδος γῆς μηδαμοῦ διῆλθέ πω,
ἀλλ᾽ οἱ μὲν ἐκβαλόντες ἀνοσίως ἐμὲ
γελῶσι σῖγ᾽ ἔχοντες, ἡ δ᾽ ἐμὴ νόσος
ἀεὶ τέθηλε κἀπὶ μεῖζον ἔρχεται.
ὦ τέκνον, ὦ παῖ πατρὸς ἐξ Ἀχιλλέως,
ὅδ᾽ εἴμ᾽ ἐγώ σοι κεῖνος, ὃν κλύεις ἴσως
τῶν Ἡρακλείων ὄντα δεσπότην ὅπλων,
ὁ τοῦ Ποίαντος παῖς Φιλοκτήτης, ὃν οἱ
δισσοὶ στρατηγοὶ χὠ Κεφαλλήνων ἄναξ
ἔρριψαν αἰσχρῶς ὧδ᾽ ἔρημον, ἀγρίᾳ
νόσῳ καταφθίνοντα, τῆς ἀνδροφθόρου
πληγέντ᾽ ἐχίδνης ἀγρίῳ χαράγματι·
ξὺν ᾗ μ᾽ ἐκεῖνοι, παῖ, προθέντες ἐνθάδε
ᾤχοντ᾽ ἔρημον ἡνίκ᾽ ἐκ τῆς ποντίας
Χρύσης κατέσχον δεῦρο ναυβάτῃ στόλῳ.
τότ᾽ ἄσμενοι μ᾽ ὡς εἶδον ἐκ πολλοῦ σάλου
εὕδοντ᾽ ἐπ᾽ ἀκτῆς ἐν κατηρεφεῖ πέτρᾳ,
λιπόντες ᾤχονθ᾽, οἷα φωτὶ δυσμόρῳ
ῥάκη προθέντες βαιὰ καί τι καὶ βορᾶς
ἐπωφέλημα σμικρόν, οἷ᾽ αὐτοῖς τύχοι.
οὖ δή, τέκνον, ποίαν μ᾽ ἀνάστασιν δοκεῖς
αὐτῶν βεβώτων ἐξ ὕπνου στῆναι τότε;
ποῖ᾽ ἐκδακρῦσαι, ποῖ᾽ ἀποιμῶξαι κακά,
ὁρῶντα μὲν ναῦς, ἃς ἔχων ἐναυστόλουν,
πάσας βεβώσας, ἄνδρα δ᾽ οὐδέν᾽ ἔντοπον

264. χὦ (sic) L.

265. ἀγρίᾳ mss. ἀθλίᾳ Wakef.

266. τῆσδ᾽ mss. τῆς Aur.

271. ἄσμενοι mss. ἄσμενον frustra Dind.

272. πέτρῳ mss. Lege πέτρᾳ. Cf. 16. δίστομος πέτρα. 952. ὦ σχῆμα πέτρας δίπυλον (δίθυρον?). 1081. ὦ κοίλας πέτρας γύαλον.

276. οὐ δὴ mss. οὖ δὴ Kvičala. Fortasse recte. Ipse tentabam καὶ μὴν —.

280 sq. Cf. Ovid. Trist. III. 3. 114. 'Non qui soletur, non qui labentia tarde | Tempora narrando fallat amicus adest'.

ὅστις τι ἀρκέσειεν οὐδ' ὅστις νόσου
κάμνοντι συλλάβοιτο, πάντα δὲ σκοπῶν
ηὕρισκον οὐδὲν πλὴν ἀνιᾶσθαι παρὸν,
τούτου δὲ πολλὴν εὐμάρειαν, ὦ τέκνον;
ὁ μὲν χρόνος δὴ διὰ χρόνου προὔβαινέ μοι,
κἄδει με βαιᾷ τῇδ' ὑπὸ στέγῃ μόνον
διακονεῖσθαι. γαστρὶ μὲν τὰ σύμφορα
τόξον τόδ' ἐξηύρισκε τὰς ὑποπτέρους
βάλλον πελείας· πρὸς δὲ τοῦθ' ὅ μοι βάλοι
νευροσπαδὴς ἄτρακτος αὐτὸς ἂν τάλας
εἰλυόμην δύστηνον ἐξέλκων πόδα
πρὸς τοῦτ' ἄν. εἶτ' ἔδει τι καὶ ποτὸν λαβεῖν,
καί που πάγου χυθέντος, οἷα χείματι,
ξύλον τι θραῦσαι· ταῦτ' ἂν ἐξέρπων τάλας
ἐμηχανώμην. εἶτα πῦρ ἂν οὐ παρῆν,
ἀλλ' ἐν πέτροισι πέτρον ἐκτρίβων μόλις
ἔφην' ἄφαντον φῶς, ὃ καὶ σῴζει μ' ἀεί·
οἰκουμένη γὰρ οὖν στέγη πυρὸς μέτα
πάντ' ἐκπορίζει πλὴν τὸ μὴ νοσεῖν ἐμέ.
φέρ', ὦ τέκνον, νῦν καὶ τὰ τῆς νήσου μάθε.

281. *οὐχ ὅστις ἀρκέσειεν* mss. Correxi *ὅστις τι ἀρκέσειεν*. Exciderat, ni fallor, *τι* post simile *-τις*.

283. *εὕρισκον* mss. *ηὕρισκον* Dind.

285. *χρόνος — διὰ χρόνου*] Nos diceremus day after day. Cf. Tr. 29. *νὺξ γὰρ εἰσάγει | καὶ νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον.*

διὰ χρόνου] *διὰ πόνου* Nauck. Qu. *ὁ μὲν χρόνου δὴ πους ἀεὶ —*, coll. Eur. Bacch. 886. *χρόνου δαρὸν πόδα.*

286. *κἄδει τι* mss. Lege *κἄδει με —*. *βαιῇ* mss. *βαιᾷ* Turn.

291. *δύστηνος* mss. *δύστηνον* recte Canter. Cf. 1377. *τῷδε δυστήνῳ ποδί.* O. C. 555. *τὸ δύστηνον κάρα.*

292. *εἶ τ'* mss. Correxi *εἶτ'*. Cf. 295.

293. *που*] Anglice 'on some occasion'. Qu. *οἷ' ἐν χείματι.* Cf. 273. *οἷα φωτὶ δυσμόρῳ | ῥάκη προθέντες.*

296. *ἐκτρίβων* mss. *ἐκθλίβων* (*τρι* sup. ab S.) L. *ἂν τρίβων* Bl. Cf. 295. et ad 305. Qu. *ἐντρίβων.*

300. *νῦν καὶ* mss. Qu. *νῦν δή.* *τὸ* mss. *τὰ* Linwood. Nauck. Cf. 497. El. 92.

ταύτῃ πελάζει ναυβάτης οὐδεὶς ἑκών·
οὐ γάρ τις ὅρμος ἐστὶν, οὐδ' ὅποι πλέων
ἐξεμπολήσει κέρδος ἢ ξενώσεται.
οὐκ ἐνθάδ' οἱ πλοῖ τοῖσι σώφροσιν βροτῶν.
τάχ' ἴσως τις ἄκων ἔσχε· πολλὰ τοιάδε
ἐν τῷ μακρῷ γένοιτ' ἂν ἀνθρώπῳ χρόνῳ.
οὗτοί μ', ὅταν μόλωσιν, ὦ τέκνον, λόγοις
ἐλεοῦσι μὲν, καί πού τι καὶ βορᾶς μέρος
προσέδοσαν οἰκτείραντες, ἤ τινα στολήν·
ἐκεῖνο δ' οὐδεὶς, ἡνίκ' ἂν μνησθῶ, θέλει,
σῶσαί μ' ἐς οἴκους, ἀλλ' ἀπόλλυμαι τάλας
ἔτος τόδ' ἤδη δέκατον ἐν λιμῷ τε καὶ
κακοῖσι βόσκων τήνδ' ἀδηφάγον νόσον.
τοιαῦτ' Ἀτρεῖδαί μ' ἥ τ' Ὀδυσσέως βία,
ὦ παῖ, δεδράκασ', οἷς Ὀλύμπιοι θεοὶ
δοῖέν ποτ' αὐτοῖς ἀντίποιν' ἐμοῦ παθεῖν.

ΧΟ. ἔοικα κἀγὼ τοῖς ἀφιγμένοις ἴσα
ξένοις ἐποικτείρειν σε, Ποίαντος τέκνον.

ΝΕ. ἐγὼ δὲ καὐτὸς τοῦδε μαρτυρῶ λόγοις
ὡς εἴσ' ἀληθεῖς· οἶδα γὰρ κακῶν τυχὼν

302. *πλέων*] Sub. *τις*. Cf. 305.

304. *σώφροσι* (sic) L.

305. *τάχ' οὖν τις ἄκων ἔσχε* mss. Offendit particula *οὖν* (igitur). Qu. *τάχ' ἴσως τις*, aut *τάχ' ἂν τις* —. Cf. 295. et ad 296. O. C. 965. *τάχ' ἄν τι μηνίουσι*. O. R. 524. *ἦλθε — τάχ' ἂν | ὀργῇ βιασθέν*. *ἔσχε*] Pro composito *προσέσχε*. *πολλὰ γὰρ τάδε* mss. Lege *πολλὰ τοιάδε* (aut *τοιάδ' ἂν*).

306. *ἀνθρώπων* mss. *ἀνθρώποις* Schubert. Qu. *ἀνθρώπῳ*.

315. *οἷς* mss. *οἵ'* Porson. *οἷς* recte tuentur Neu. Linwood. Pal. (*αὐτοῖς* ipsis reddentes). Cf. 275. *οἵ' αὐτοῖς τύχοι*.

319. *τοῖσδε* mss. Correxi *τοῦδε*. *μαρτὺς ἐν λόγοις* (*λόγῳ* L. corr.) mss. *μάρτυς ὢν λόγοις* Gernhard. Ipse malim *μαρτυρῶ λόγοις*.

320. *ὡς εἴσ' ἀληθεῖς*] Qu. *ὡς δ'* (aut *χὡς*) *εἴσ'* —. *συντυχὼν κακῶν* mss. *προστυχὼν κακῶν* Mein. Qu. *πάνυ* (*γὰρ*, aut *γοῦν*) *τυχὼν κακῶν*, aut *παγκάκων τυχών*. *Συντυγχάνειν* semper dativum regit, ut in v. 683. *μοίρᾳ τοῦδ' ἐχθίονι συντυχόντα*.

ἀνδρῶν Ἀτρειδῶν τῆς τ' Ὀδυσσέως βίας.
ΦΙ. ἦ γάρ τι καὶ σὺ τοῖς πανωλέθροις ἔχεις
ἔγκλημ' Ἀτρείδαις, ὥστε θυμοῦσθαι παθών;
ΝΕ. θυμὸν γένοιτο χειρὶ πληρῶσαί ποτε,
ἵν' αἱ Μυκῆναι γνοῖεν ἡ Σπάρτη θ' ὅτι
χἠ Σκῦρος ἀνδρῶν ἀλκίμων μήτηρ ἔφυ.
ΦΙ. εὖ γ', ὦ τέκνον· τίνος γὰρ ὧδ' ἔχων μέγαν
χόλον κατ' αὐτῶν ἐκχέων ἐλήλυθας;
ΝΕ. ὦ παῖ Ποίαντος, ἐξερῶ, μόλις δ' ἐρῶ,
ἅγωγ' ὑπ' αὐτῶν ἐξελωβήθην μολών.
ἐπεὶ γὰρ ἔσχε μοῖρ' Ἀχιλλέα θανεῖν,
ΦΙ. οἴμοι· φράσῃς μοι μὴ πέρα πρὶν ἂν μάθω
πρῶτον τόδ', εἰ τέθνηχ' ὁ Πηλέως γόνος.
ΝΕ. τέθνηκεν, ἀνδρὸς οὐδενὸς, θεοῦ δ' ὕπο,
τοξευτὸς, ὡς λέγουσιν, ἐκ Φοίβου δαμείς.
ΦΙ. ἀλλ' εὐγενὴς μὲν ὁ κτανών τε χὡ θανών.
ἀμηχανῶ δὲ πότερον, ὦ τέκνον, τὸ σὸν
πάθημ' ἐλέγχω πρῶτον, ἢ κεῖνον στένω.
ΝΕ. οἶμαι μὲν ἀρκεῖν σοί γε καὶ τὰ σ', ὦ τάλας,
ἀλγήμαθ', ὥστε μὴ τὰ τῶν πέλας στένειν.
ΦΙ. ὀρθῶς ἔλεξας. τοιγαροῦν τὸ σὸν φράσον
αὖθις πάλιν μοι πρᾶγμ', ὅπως ἔς σ' ὕβρισαν.
ΝΕ. ἦλθόν με νηῒ ποικιλοστόμῳ μέτα
δῖός τ' Ὀδυσσεὺς χὡ τροφεὺς τοὐμοῦ πατρὸς,

321. *ἀνδρῶν* mss. Corrigendum, ni fallor, *δισσῶν*.

323. *ἔχεις ἔγκλημ' Ἀτρείδαις*] Ut *ὀργὴν ἔχειν τινὶ* et similia.

324. *θυμῷ γένοιτο χεῖρα* mss. *θυμὸν γένοιτο χειρὶ* Br. *εἴ μοι γένοιτο* (sic Valck.) *θυμὸν ἐκπλῆσαί ποτε* conj. Nauck.

327. *ὧδε τὸν μέγαν χόλον* mss. Anglice that terrible anger. Qu. *ὧδ' ἔχων μέγαν χόλον*. Cf. ad v. prox.

328. *ἐγκαλῶν* mss. Vitiosum. Lege *ἐκχέων* aut *ἕνεκ' ἔχων*. Post *ἐγκαλεῖν* requiritur dativus personae, accusativus rei, ut in El. 778.

332. *φράσῃς μοι μὴ πέρα* mss. Qu. *πέρα μοι μὴ φράσῃς*.

333. *ἦ τέθνηχ'* mss. Lege *εἰ τέθνηχ'*.

343. *μετήλυθόν*(?) *με νηῒ ποικιλοστόλῳ* conj. Nauck. Cf. v. *μιλτοπάρῃος* (Hom. Il. 2, 637). *ποικιλοστόλῳ* (alt. *λ* ex *μ* facto in L.) mss. Scribendum *ποικιλοστόμῳ*. Ulyssi *νῆες ἕποντο δυώδεκα μιλτοπάρῃοι* Hom. Il. 2, 637.

λέγοντες, εἴτ' ἀληθὲς εἴτ' ἄρ' οὖν μάτην,
ὡς οὐ θέμις γίγνοιτ', ἐπεὶ κατέφθιτο
πατὴρ ἐμὸς, τὰ Πέργαμ' ἄλλον ἢ 'μ' ἑλεῖν.
ταῦτ', ὦ ξεν', οὕτως ἐννέποντες οὐ πολὺν
χρόνον μ' ἐπέσχον μὴ οὐχὶ ναυστολεῖν ὁμοῖ,
μάλιστα μὲν δὴ τοῦ θανόντος ἱμέρῳ,
ὅπως ἴδοιμ' ἄθαπτον· οὐ γὰρ εἰδόμην·
ἔπειτα μέντοι χὠ λόγος καλὸς προσῆν,
εἰ τἀπὶ Τροίᾳ Πέργαμ' αἱρήσοιμ' ἰών.
ἦν δ' ἦμαρ ἤδη δεύτερον πλέοντί μοι,
κἀγὼ 'π' ἄκρον Σίγειον οὐρίῳ πλάτῃ
κατηγόμην· καί μ' εὐθὺς ἐν κύκλῳ στρατὸς
ἐκβάντα πᾶς ἠσπάζετ', ὀμνύντες βλέπειν
τὸν οὐκέτ' ὄντα ζῶντ' Ἀχιλλέα πάλιν.
κεῖνος μὲν οὖν ἔκειτ'· ἐγὼ δ' ὁ δύσμορος,
ἐπεὶ 'δάκρυσα κεῖνον, οὐ μακρῷ χρόνῳ
ἐλθὼν Ἀτρείδας πρὸς διπλοῦς, ὡς εἰκὸς ἦν,
τά θ' ὅπλ' ἀπῄτουν τοῦ πατρὸς τά τ' ἄλλ' ὅσ' ἦν.
οἱ δ' εἶπον, οἴμοι, τλημονέστατον λόγον·
Ὦ σπέρμ' Ἀχιλλέως, τἄλλα μὲν πάρεστί σοι
πατρῷ' ἑλέσθαι, τῶν δ' ὅπλων κείνων ἀνὴρ
ἄλλος κρατύνει νῦν, ὁ Λαρτίου γόνος.

346. γίγνοιτ'] Malim γένοιτ'.

347. ἤ μ' ἑλεῖν] Scrib. ἢ 'μ' ἑλεῖν.

349. μή με ναυστολεῖν mss. Lege μὴ οὔ με —. ταχὺ] Nauckio suspectum. Qu. ὁμοῦ.

351. Damnat Dind. οὐ γὰρ εἰδόμην mss. Legendum forsan εἰ γὰρ (utinam) — aut ἀλλ' οὐκ εἰδόμην.

355. κἀγὼ πικρὸν Σίγειον mss. πικρὸν Nauckio suspectum. Lege κἀγὼ 'π' (aut 'ς) ἄκρον (aut ἄκραν) Σίγειον. Cf. Tr. 752. ἄκρον | Κήναιον. 788. Εὐβοίας τ' ἄκραι. Ant. 825. Σιπύλῳ πρὸς ἄκρῳ. οὐρίῳ πλάτῃ] οὐρίῳ πνοῇ (aut δρόμῳ) conj. Nauck.

360. δάκρυσα mss. 'δάκρυσα Br. οὐ μακρῷ χρόνῳ] After no long a time. Construendum cum ἐλθών.

361. φίλους mss. I. e. ὡς φίλους ὄντας explicat Pal., sed ita ὡς addendum foret. Corrigendum forsan διπλοῦς (i. q. δισσούς).

362. τά τ' ἄλλ' ὅσ' ἦν mss. καὶ τἄπιπλα conj. Nauck.

366. Λαέρτου mss. Λαρτίου Turneb. Cf. 402. 1286. et ad Aj. 1.

κἀγὼ 'ξακούσας εὐθὺς ἐξανίσταμαι
ὀργῇ βαρείᾳ, καὶ μάλ' ἀλγήσας λέγω·
Ὦ σχέτλι', ἦ 'τολμήσατ' ἀντ' ἐμοῦ τινι
δοῦναι τὰ τεύχη τἀμὰ πρὶν μαθεῖν ἐμοῦ;
ὁ δ' εἶπ' Ὀδυσσεὺς· πλησίον γὰρ ἦν κυρῶν·
Ναὶ, παῖ, δεδώκασ' ἐνδίκως ἐμοὶ τάδε·
ἐγὼ γὰρ αὔτ' ἔσωσα κἀκεῖνον παρών.
κἀγὼ χολωθεὶς σφ' εὐθὺς ἤρασσον κακοῖς
τοῖς πᾶσιν, οὐδὲν ἐνδεὲς ποιούμενος,
εἰ τἀμὰ κεῖνος ὅπλ' ἀφαιρήσοιτό με.
ὁ δ' ἐνθάδ' ἥκων, καίπερ οὐ δύσοργος ὤν,
δηχθεὶς πρὸς ἁξήκουσεν ὧδ' ἠμείψατο·
Οὐκ ἦσθ' ἵν' ἡμεῖς, ἀλλ' ἀπῆσθ' ἵν' οὔ σ' ἔδει.
καὶ ταῦτ', ἐπειδὴ καὶ λέγεις θρασυστομῶν,
οὐ μή ποτ' ἐς τὴν Σκῦρον ἐκπλεύσῃς ἔχων.
τοιαῦτ' ἀκούσας κἀξονειδισθεὶς κακὰ
πλέω πρὸς οἴκους, τῶν ἐμῶν τητώμενος
πρὸς τοῦ κακοῦ τε κἀκ κακῶν Ὀδυσσέως.
κοὐκ αἰτιῶμαι κεῖνον ὡς τοὺς ἐν τέλει.
πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων
στρατός τε σύμπας· οἱ δ' ἀκοσμοῦντες βροτῶν
διδασκάλων λόγοισι γίγνονται κακοί.

367. *κἀγὼ δακρύσας* mss. Qu. *ἐγὼ δ' ἀκούσας*, aut *κἀγὼ 'πακούσας* (aut *'ξακούσας*).

368. *καταλγήσας* mss. Correxi *μάλ' ἀλγήσας*. Non alibi apud Sophoclem occurrit verbum *καταλγεῖν*.

369. *τολμήσατ'* mss. *'τολμήσατ'* Vauv.

370. *πρὶν μαθεῖν ἐμοῦ*] *πρὶν μολεῖν ἐμέ* Hart. Fortasse recte.

371. *ὢν κύρει* mss. L. *ἦν κυρῶν* Br. Dind. Nauck. Cf. 544. *ποῦ κυρῶν εἴης* (*ποῦ κυροῖς ποτ' ὢν*?) *φράσαι*. 741. et ad O. C. 1159. Qu. *ὢν κυρεῖ* (cum schol. rec.).

372. *οὗτοι*] Qu. *ἐμοί*.

374. Lege *χολωθείς* (*σφ'*).

375. *οὐδὲν ἐνδεὲς ποιούμενος* mss. Qu. *οὐκ ἐν εὐχερεῖ* —.

384. *τοῦ κακίστου* mss. Qu. *τοῦ κακοῦ τε*. Cf. O. R. 1397. *κακός τ' ὢν κἀκ κακῶν*. Sed cf. Eur. Andr. 581. *ὦ κάκιστε κἀκ κακῶν*.

385. *ὡς τοὺς ἐν τέλει*] Qu. *ἴσα τοῖς ἐν τέλει*.

λόγος λέλεκται πᾶς. ὁ δ' Ἀτρείδας στυγῶν
ἐμοί θ' ὁμοίως καὶ θεοῖς εἴη φίλος.

Στροφή.

ΧΟ. ὀρεστέρα παμβῶτι Γᾶ, μᾶτερ αὐτοῦ Διὸς,
ἃ τὸν μέγαν Πακτωλὸν εὔχρυσον νέμεις,
σὲ κἀκεῖ, μᾶτερ πότνι', † ἐπηυδώμαν
ὅτ' ἐς τόνδ' Ἀτρειδᾶν ὕβρις πᾶσ' ἐχώρει,
ὅτε τὰ πάτρια τεύχεα παρεδίδοσαν,
ἰὼ μάκαιρα ταυροκτόνων
λεόντων ἔφεδρε, τῷ Λαρτίου σέβας ὑπέρτατον.

ΦΙ. ἔχοντες, ὡς ἔοικε' σύμβολον σαφὲς
λύπης πρὸς ἡμᾶς, ὦ ξένοι, πεπλεύκατε,
καί μοι προσᾴδεθ' ὥστε γιγνώσκειν μ' ὅτι
ταῦτ' ἔστ' Ἀτρειδῶν' ἔργα τοῦ τ' Ὀδυσσέως.
ἔξοιδα γάρ νιν παντὸς ἂν λόγου κακοῦ
γλώσσῃ θιγόντα καὶ πανουργίας, ἀφ' ἧς
μηδὲν δίκαιον † ἐς τέλος μέλλοι ποιεῖν.
ἀλλ' οὔ τι τοῦτο θαῦμ' ἔμοιγ', ἀλλ' εἰ παρὼν
Αἴας ὁ μείζων ταῦθ' ὁρῶν ἠνείχετο.

ΝΕ. οὐκ ἦν ἔτι ζῶν, ὦ ξέν'· οὐ γὰρ ἄν ποτε
ζῶντός γ' ἐκείνου ταῦτ' ἐσυλήθην ἐγώ.

ΦΙ. πῶς εἶπας; ἦ γὰρ χοὖτος οἴχεται θανών;

ΝΕ. ὡς μηκέτ' ὄντα κεῖνον ἐν φάει φρόνει.

ΦΙ. οἴμοι τάλας. ἀλλ' οὐχ ὁ Τυδέως γόνος,

395. *ἐπηυδώμαν*] Suspectum. Qu. *ἐπηύδων ἀνίκ' ἐς τόνδ'* —. Hesychius *ἐπηύδων* per *ἐπεφώνουν* explicat, huc fortasse respiciens. Tentabam etiam *μᾶτερ πότνα, προσηυδώμαν*.

399. *παρεδίδοσαν*] Cf. 64.

402. *Λαρτίου Γ*. Dind. *Λαερτίου* L. aliique. Cf. ad 366.

405. *γινώσκειν* L. *γιγνώσκειν* (*μ'*) Bl.

406. *ἐξ* mss. Lege *ἔστ'*, quod omitti non potest. *κἀξ Ὀδυσσέως*] Correxi *τοῦ τ' Ὀδυσσέως*. Causa vitii fuit *ἔστ'* in *ἐξ* corruptum.

407. *λόγου* mss. Suspectum. Qu. *δόλου*.

409. *ἐς τέλος* mss. Suspectum. Qu. *ἐς φίλους*, aut *καὶ καλόν*, aut *ἢ εὐσεβές*. *μέλλει* mss. Lege *μέλλοι*. Cf. 325.

414. *ἀλλ' ἦ* mss. Qu. *ἦ γάρ*. Et sic olim Seyffert.

415. *νόει* mss. Lege *φρόνει*. Cf. 810. Tr. 289. *φρόνει νιν ὡς ἥξοντα*. El. 1370. etc. De constructione cf. El. 882. 1341. O. R. 956.

ουδ' οὐμπολητος Σισύφου Λαερτίῳ,
ου μὴ θάνωσι· τούσδε γὰρ μὴ ζῆν ἔδει.
NE. *ου δῆτ'· ἐπίστω τοῦτό γ'· ἀλλὰ καὶ μέγα*
θάλλοντές εἰσι νῦν ἐν Ἀργείων στρατῷ.
ΦΙ. *[τί δ' ὁ παλαιὸς κἀγαθὸς φίλος τ' ἐμὸς]*
Νέστωρ (δ') ὁ Πύλιος ἔστιν; οὗτος γὰρ τά γε
κείνων κάκ' ἐξήρυκε βουλεύων σοφά.
NE. *κεῖνός γε πράσσει νῦν κακῶς, ἐπεὶ θανὼν*
Ἀντίλοχος αὐτῷ φροῦδος, ὃς παρῆν μόνος.
ΦΙ. *οἴμοι, δύ' αὖ τώδ' ἄνδρ' ἔλεξας, οἶν ἐγὼ*
ἥκιστ' ἂν ἠθέλησ' ὀλωλότοιν κλύειν.

417. Construe *οὐδ' ὁ (γόνος) Σισύφου ἐμπόλητος Λαερτίῳ. οὐμπολητὸς* —] "Quia ex furtivo Sisyphi compressu gravidam Anticleam duxerat Laertes." (Dind.) Fabula Homero ignota, a tragicis saepius in Ulyssem versa, ut monuit Herm. *Λαερτίου* L. et al. *Λαερτίῳ* A. sup. aliusque unus. Br. Dind. Bl. Schn.

420. *Ἀργείῳ* L. *Ἀργείων* alii.

421. *τί δ' ὅ, τί δ' ὦ* (*ὅ* sup. a m. pr. et leni spiritu super *ω* in asperum mutato L.) aut *τί δ' ὅς* mss. *τί δ' αὖ* Schneid. Versum damnant Dind. et Nauck. Qu. *τί δ' αὖ ὁ* aut *τί δ' ἀνὴρ*. Cf. O. R. 941. *τί δ'; οὐχ ὁ πρέσβυς — ἐγκρατὴς ἔτι;* Arist. Pac. 700. *τί δαὶ Κρατῖνος ὁ σοφος ἔστιν; ἀπέθανε.* Versus nondum emendatus. *παλαιὸς*] Qu. *δίκαιος*.

422. *Νέστωρ (δ') ὁ* Dind.

424. *κεῖνός γε πράσσει νῦν κακῶς* mss. Qu. *κεῖνος τὰ νῦν πράσσει κακῶς.* *ἐπεὶ γόνος | Ἀντίλοχος αὐτῷ φροῦδος οἴχεται θανών* conj. Nauck.

425. *ὅσπερ ἦν μόνος* mss. *ὃς παρῆν μόνος* (i. e. qui solus patri opem tulit) Musgr. Dind. "Nam Antilochus patrem contra Memnonem defendens ceciderat: quod ob factum celebratur ab Homero (Od. 4, 188. 3, 111) et Pindaro (P. 6, 28 sq.)." (Dind.) Fort. *ὃς παρῆν πατρί* (sc. contra Memnonem). Cf. 373. *ἐγὼ γὰρ αὔτ' ἔσωσα κἀκεῖνον παρών.*

426. *δύ' αὔτως* (*αὔτως* corr.) *δείν' ἔλεξας* L. *γρ. δύ' αὐτὼ δ' ἐξέδειξας* ab S. inter scholia. *δύ' αὐτὼ δ' ἐξέδειξας* al. Unde *δύ' αὖ τώδ' ἐξέδειξας* reposuit Porson. Ipse malim *δύ' αὖ τώδ' ἄνδρ' ἔλεξας*. Parum enim placet *ἐξέδειξας*. Cf. 441. *ποῖον σὺ τόνδ' αὖ πλήν γ' Ὀδυσσέως ἐρεῖς.*

φεῦ φεῦ· τί δῆτα δεῖ σκοπεῖν ὅϑ' οἵδε μὲν
τεϑνᾶσ', Ὀδυσσεὺς δ' ἔστιν ἐνταῦϑ', ὅντινα.
χρῆν ἀντὶ τούτων αὐτὸν αὐδᾶσϑαι νεκρόν;
ΝΕ. σοφὸς παλαιστὴς κεῖνος, ἀλλὰ χαὶ σοφαὶ
γνῶμαι, Φιλοκτῆτ', ἐμποδίζονται ϑαμά.
ΦΙ. φέρ' εἰπὲ πρὸς ϑεῶν, ποῦ γὰρ ἦν ἐνταῦϑά σοι
Πάτροκλος, ὃς σοῦ πατρὸς ἦν τὰ φίλτατα;
ΝΕ. χοὖτος τεϑνηκὼς ἦν· λόγῳ δέ σ' ἐν βραχεῖ
τοῦτ' ἐκδιδάξω. πόλεμος οὐδέν' ἄνδρ' ἑκὼν
αἱρεῖ πονηρὸν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί.
ΦΙ. ξυμμαρτυρῶ σοι· καὶ κατ' αὐτὸ τοῦτό γε
ἀναξίου μὲν φωτὸς ἐξερήσομαι,
γλώσσῃ δὲ δεινοῦ καὶ σοφοῦ, ποῦ νῦν κυρεῖ.
ΝΕ. ποῖον σὺ τόνδ' αὖ πλήν γ' Ὀδυσσέως ἐρεῖς;
ΦΙ. οὐ τοῦτον εἶπον, ἀλλὰ Θερσίτης τις ἦν,
ὃς οὐκ ἂν ᾔδεῖτ' εἰς ἅπαντ' εἰπεῖν ὅπου
μηδεὶς ἐῴη· τοῦτον οἶσϑ' εἰ ζῶν κυρεῖ;

428. *τί δῆτα δεῖ σκοπεῖν* mss. Qu. *τί δεῖ δῆτ' εὐσεβεῖν,* aut *τί δεῖ μ' ἔτι* (aut *πέρα*) *σκοπεῖν.*

429. *αὖ κἀνταῦϑ' ἵνα* mss. Offendit particula *καί.* Correxi *ἐνταῦϑ', ὅντινα.*

434. *ὅς σοι* mss. *ὃς σοῦ* Hemst.

435. *σε βραχεῖ* mss. *σ' ἐν βραχεῖ* Erf.

439. *ἀναξίου μὲν φωτὸς ἐξερήσομαι — δεινοῦ καὶ σοφοῦ*] Cf. Aj. 103. *ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου;* De genitivo cf. Tr. 928. Aj. 1236. *ποίου κέκραγας ἀνδρὸς ὧδ' ὑπέρφρονα;* Qu. *ἀνάξιον μὲν φῶτά σ' ἐξερήσομαι — δεινὸν καὶ σοφόν.*

440. *τί νῦν κυρεῖ* mss. Lege *ποῦ νῦν κυρεῖ.* Cf. 544. *ποῦ κυρῶν εἴης φράσαι.* Aj. 984. *ποῦ μοι γῆς κυρεῖ —;*

441. *ποίου τε τούτου — ἐρεῖς* L. *ποίου δὲ — ἐρεῖς* Flor. Christ. Dind. Lege *ποῖον σὺ τοῦτον —;* Cf. 1204. *ποῖον ἐρεῖς τόδ' ἔπος;* O. C. 388. *ποίοισι τούτοις;* 572. O. R. 571. Ant. 1049. *ποῖον τοῦτο πάγκοινον λέγεις;* Aj. 46. Qu. *ποῖον ποτ' ἄνδρα πλὴν Ὀδυσσέως ἐρεῖς;* Cf. Aj. 1236. *ποίου κέκραγας ἀνδρὸς ὧδ' ὑπέρφρονα; πλήν γ'*] Melius, opinor, aberit particula. Idem sentit Nauck. Qu. *πλὴν Ὀδυσσέα λέγεις.*

443. *ὃς οὐκ ἂν εἵλετ'* mss. Qu. *ὃς οὐκ ἂν ᾔδεῖτ',* aut *ὃς αἰὲν ἤϑελ'.* Requiritur imperfectum aliquod. Cf. e. g. Aesch. Pers. 810. *οὐ ϑεῶν βρέτη | ᾐδοῦντο συλᾶν.* *εἰσάπαξ* mss. Correxi *εἰς ἅπαντ'.*

ΝΕ. οὐκ εἶδον αὐτὸν, ᾐσθόμην δ' ἔτ' ὄντα νιν.
ΦΙ. ἔμελλ'· ἐπεὶ οὐδέν πω κακόν γ' ἀπώλετο,
ἀλλ' εὖ περιστέλλουσιν αὐτὰ δαίμονες,
καί πως τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ
χαίρουσ' ἀναστρέφοντες ἐξ Ἅιδου, τὰ δὲ
δίκαια καὶ χρήστ' ἐξαποστέλλουσ' ἀεί.
ποῦ χρὴ τίθεσθαι ταῦτα, πῶς δ' αἰνεῖν, ὅταν
τὰ θεῖ' ἐρευνῶν τοὺς θεοὺς εὕρω κακούς;
ΝΕ. ἐγὼ μὲν, ὦ γένεθλον Οἰταίου πατρὸς,
τὸ λοιπὸν ἤδη τηλόθεν τό τ' Ἴλιον
καὶ τοὺς Ἀτρείδας εἰσορῶν φυλάξομαι,
ὅπου δ' ὁ χείρων τἀγαθοῦ μεῖζον σθένει
κἀποφθίνει τὰ χρηστὰ χὠ δειλὸς κρατεῖ,
τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ·
ἀλλ' ἡ πετραία Σκῦρος ἐξαρκοῦσά μοι
ἔσται τὸ λοιπὸν ὥστε τέρπεσθαι δόμῳ.
νῦν δ' εἶμι πρὸς ναῦν. καὶ σὺ, Ποίαντος τέκνον,
χαῖρ' ὡς μέγιστα, χαῖρε· καί σε δαίμονες
νόσου μεταστήσειαν, ὡς αὐτὸς θέλεις.
ἡμεῖς δ' ἴωμεν· ὡς ὁπηνίκ' ἂν θεὸς
πλοῦν ἡμὶν εἴκῃ, τηνικαῦθ' ὁρμώμεθα.
ΦΙ. ἤδη, τέκνον, στέλλεσθε; ΝΕ. καιρὸς γὰρ καλεῖ
πλοῦν μὴ 'ξ ἀπόπτου μᾶλλον ἢ 'γγύθεν σκοπεῖν.
ΦΙ. πρός νύν σε πατρὸς, πρός τε μητρὸς, ὦ τέκνον,
πρός τ' εἴ τί σοι κατ' οἶκόν ἐστι προσφιλὲς,

445. *αὐτὸν* mss. Dind. *αὐτὸς* Burgess. Schneid.
446. *οὐδέν πω* unus ms. *οὐδέπω* L. et cet.
447. *αὐτὰ*] I. e. *τὰ κακά* (*τοὺς κακούς*).
450. *καὶ τὰ χρήστ' ἀποστέλλουσ'* mss. Offendit articulus repetitus. *τὰ χρηστὰ προυσελοῦσ'* conj. Schneid. ed. Nauck. Qu. *καὶ χρήστ' ἐξαποστέλλουσ'*. Confer composita apud nostrum *ἐξαπαλλάσσειν*, *ἐξαπολλύναι*, *ἐξαποφθείρειν*.
452. *τὰ θεῖ' ἐπαινῶν* mss. *τὰ θεῖ' ἐρευνῶν* conj. Schn. *τὰ θεῖα τιμῶν* conj. Bl.
456. *ὅπου θ'* (*γ'* sup. a m. pr.) L. *ὅπου γ'* al. *ὅπου δ'* Herm.
457. *δεινὸς* mss. *δειλὸς* Br.
460. *δόμῳ* mss. *μόνῳ* Suidas s. v. *στέρξω*.
468. *νῦν* mss. *νύν* Turn.

πρόστροπος ἱκνοῦμαι, μὴ λίπῃς μ' οὕτω μονον
ἔρημον ἐν κακοῖσι τοῖσδ' ἐν οἷς ὁρᾷς
ἐν οἷσί τ' ἐξήκουσας ἐνναίοντά με·
ἀλλ' ἐν παρέργῳ θοῦ με. δυσχέρεια μὲν
ἔστ', οἶδα, πολλὴ τοῦδε τοῦ νοσήματος·
ὅμως δὲ τλῆθι. τοῖσι γενναίοισί τοι
τό τ' αἰσχρὸν ἐχθρὸν καὶ τὸ χρηστὸν εὐκλεές.
σοὶ δ' ἐκλιπόντι τόνδ' ὄνειδος οὐ καλὸν,
σώσαντι δ', ὦ παῖ, πλεῖστον εὐκλείας γέρας,
ἐὰν μόλω 'γὼ ζῶν πρὸς Οἰταίαν χθόνα.
ἴθ'· ἡμέρας τοι μόχθος οὐχ ὅλης μιᾶς·
τόλμησον, ἐμβαλοῦ μ' ὅπῃ θέλεις ἄγων,
εἰς ἀντλίαν, ἐς πρῷραν, ἐς πρύμνην, ὅπου
ἥκιστα μέλλω τοὺς ξυνόντας ἀλγυνεῖν.
νεῦσον, πρὸς αὐτοῦ Ζηνὸς ἱκεσίου, τέκνον,
πείσθητι· προσπίτνω σε γόνασι καίπερ ὢν
ακράτωρ ὁ τλήμων χωλός· ἀλλὰ μή μ' ἀφῇς
ἔρημον οὕτω χωρὶς ἀνθρώπων στίβου,
ἀλλ' ἢ πρὸς οἶκον τὸν σὸν ἔκσωσόν μ' ἄγων,
ἢ πρὸς τὰ Χαλκώδοντος Εὐβοίας σταθμά·
κἀκεῖθεν οὔ μοι μακρὸς εἰς Οἴτην στόλος

470. *ἱκέτης ἱκνοῦμαι* mss. Lege *πρόστροπος* (gl. *ἱκέτης*) *ἱκνοῦμαι.* Cf. O. R. 41. *ἱκετεύομεν — πρόστροποι.*

471. *οἵοις ὁρᾷς* mss. Qu. *ἐν οἷς ὁρᾷς,* aut *οἷ' εἰσορᾷς.*

472. *ὅσοισί τ'* mss. Qu. *οἵοισί τ'* aut *ἐν οἷσί τ'.*

473. *ἐν παρέργῳ θοῦ με*] Cf. 875. *πάντα ταῦτ' ἐν εὐχερεῖ | ἔθου.*

474. *ἔξοιδα* mss. Qu. *εὖ οἶδα,* aut potius, *ἔστ', οἶδα.* Requiritur enim verbum substantivum. *φορήματος* mss. Lege *νοσήματος.* Cf. 900. *δυσχέρεια τοῦ νοσήματος.*

476. *εὐκλεές*] *εὐχερὲς* Dobr. Sed cf. 478.

477. *τοῦτ'* mss. Lege *τόνδ'.*

478. *δράσαντι* mss. *σώσαντι* Bl. Cf. 488. 496.

481. *ἐμβαλοῦ*] *ἐκβαλοῦ* L. *εἰσβαλοῦ* Mein. *ὅπη* (*ὅπῃ* L.) mss. Qu. *ὅπου.*

482. *εἰς — εἰς* mss. *ἐς — ἐς* Dind. *πρῴραν* (sic) L. Cf. ad 639. *πρύμναν* L. *πρύμναν θ'* Lb. et al. *πρύμνην* Elmsl. *ὅποι*] *ὅποι* L. et al. *ὅπου Γ.* Recte.

486. *ἀκράτωρ*] Nonne *ἀκρατής?*

Τραχινίας τε δειράδας τόν τ' εὔροον
Σπερχειὸν ἔσται, πατρί μ' ὡς δείξῃς φίλῳ·
ὃν δὴ πάλαι 'στὶν ἐξ ὅτου δέδοικ' ἐγὼ
μή μοι τεθνήκῃ· πολλὰ γὰρ τοῖς ἱγμένοις
ἔπειθον αὐτὸν, ἱκεσίους πέμπων λιτὰς,
αὐτόστολον πλεύσαντά μ' ἐκσῶσαι 'ς δόμους.
ἀλλ' ἢ τέθνηκεν, ἢ τὰ τῶν διακόνων,
ὡς εἰκὸς, οἴμοι, τοὐμὸν ἐν σμικρῷ μέρει
ποιούμενοι τὸν οἴκαδ' ἤπειγον στόλον.
νῦν δ', ἐς σὲ γὰρ πομπόν τε καὐτὸν ἄγγελον
ἥκω, σὺ σῶσον, σύ μ' ἐλέησον, εἰσορῶν
ὡς πάντ' ἄδηλα κἀπικινδύνως βροτοῖς
κεῖται, παθεῖν μὲν εὖ, παθεῖν δὲ θἄτερα.
χρὴ δ' ἐκτὸς ὄντα πημάτων τὰ δείν' ὁρᾶν,
χὤταν τις εὖ ζῇ, τηνικαῦτα τὸν σοφὸν

491. *Τραχινίαν τε δειράδα καὶ τὸν εὔροον* mss. *Τραχινίαν τε δειράδ' ἢ* — conj. Pal. *Τραχινίας τε δειράδας τόν τ' εὔροον* Bl. *δειράδα καὶ* mss. *δεράδα* (?) *καὶ* Toup. Dind.

493. *παλαιὰν* (in marg. *πάλαι ἂν* sine *γρ.* a m. ant.) L. *πάλαι ἂν* aut *παλαί ἂν* al. *παλαιὸν* Tricl. Dind. Lege *πάλαι 'στίν*. Cf. Aj. 600. *ἐγὼ δ' ὁ τλάμων παλαιὸς ἀφ' οὗ χρόνος μίμνω κτλ.* et Thuc. 1, 6. *οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνας λινοῦς ἐπαύσαντο φοροῦντες.*

494. *βεβήκῃ* mss. *βέβηκε* frustra Elmsl. Correxi *τεθνήκῃ*. Requiritur proculdubio subjunctivus. *τοῖς ἱγμένοις*] Per eos qui appulerunt. Cf. 517. *πορεύσαιμ' ἂν ἐς δόμους.* Tr. 229. *ἀλλ' εὖ μὲν ἵγμεθ'.*

495. *ἔστελλον* mss. Qu. *ἔπειθον*, aut *ἐκέλευον*.

496. *πέμψαντα* mss. Lege *πλεύσαντα.* *δόμοις* mss. *δόμους* Wund. Correxi *μ' ἐκσῶσαι ('ς) δόμους.* Cf. Tr. 610. *εἴ ποτ' αὐτὸν ἐς δόμους | ἴδοιμι σωθέντ'.*

497. *τὰ τῶν διακόνων*] Pro *οἱ διάκονοι* positum.

498. *οἶμαι* mss. Correxi *οἴμοι*. Et sic Valck. Burgess. Recte, opinor. Cf. 363. *μέρος* mss. Lege *μέρει* (i. q. *μοίρᾳ*). Cf. ad O. C. 278. 500. *εἰς* mss. *ἐς* Dind.

502. *πάντα δεινὰ* mss. *πάντ' ἄδηλα* recte Wakefield. Subaudiendum *ἐστί.* *κἀπικινδύνως βροτοῖς* mss. Qu. *κἀπικίνδυν' ἐν βροτοῖς ἐστὶν* —.

503. *κεῖται* mss. Nonne *ἔχει* scripsit poeta?

505. *τὸν βίον* mss. Suspectum Nauckio. Lege *τὸν σοφόν.*

σκοπεῖν μάλιστα, μὴ διαφθαρεὶς λάθῃ.

Ἀντιστροφή.

ΧΟ. *οἴκτειρ', ἄναξ· πολλῶν ἔλεξεν δυσοίστων πόνων*
ἆθλ', οἷα μηδεὶς τῶν ἐμῶν λάχοι φίλων.
εἰ δὲ πικρῶς, ἄναξ, ἔχθεις Ἀτρείδας,
ἐγώ νιν, τὸ κείνων κακὸν τῷδε κέρδος
μετατιθέμενος, ἔνθαπερ ἐπιμέμονεν,
ἐπ' εὐστόλου ταχείας νεὼς
πορεύσαιμ' ἂν ἐς δόμους, τὰν θεῶν νέμεσιν ἐκφυγών.
ΝΕ. *ὅρα σὺ μὴ νῦν μέν τις εὐχερὴς παρῇς,*
ὅταν δὲ πλησθῇς τῆς νόσου ξυνουσίᾳ,
τότ' οὐκέθ' αὑτὸς τοῖς λόγοις τούτοις φανῇς.
ΧΟ. *ἥκιστα· τοῦτ' οὐκ ἔσθ' ὅπως ποτ' εἰς ἐμὲ*
τοὔνειδος ἕξεις ἐνδίκως ὀνειδίσαι.
ΝΕ. *ἀλλ' αἰσχρὰ μέντοι σοῦ γ' ἔμ' ἐνδεέστερον*
ξένῳ φανῆναι πρὸς τὸ καίρι' ἐκπονεῖν.
ἀλλ', εἰ δοκεῖ, πλέωμεν, ὁρμάσθω ταχύς·
χἠ ναῦς γὰρ ἄξει κοὐκ ἀπαρνηθήσεται.
μόνον θεοὶ σώζοιεν ἔκ τε τῆσδε γῆς
ἡμᾶς ὅποι τ' ἐνθένδε βουλόμεσθα πλεῖν.

509. *ὅσα* mss. *οἷα* Pors. *τύχοι* mss. Lege *λάχοι*. Cf. O. R. 1366.

510. *πικροὺς* mss. Lege *πικρῶς*. Idem conj. Nauck.

511. *ἐγὼ μὲν* mss. *ἐγώ νιν* Todt. Recte, opinor.

513. *τῷδε κέρδος*] *τῷδ' ὄνασιν* conj. Nauck.

515. *μέγα τιθέμενος* mss. *μετατιθέμενος* Brunck. ex schol Dind. Correctio incerta. Cf. El. 1304. *μέγ' εὑρεῖν κέρδος*. Fr. 688, 3. *κέρδος ἀνθρώποις μέγα*. *ἐπεὶ μέμονεν* mss. *ἐπιμέμονεν* Turn.

517. *τὰν ἐκ θεῶν* mss. *τὰν θεῶν* Herm.

519. Fort. *μὴ τὰ νῦν μὲν εὐχερὴς παρῇς* (aut *τις ᾖς*).

524. *γέ μ'* mss. Malim *γ' ἔμ'*.

525. *πρὸς τὸ καίριον πονεῖν* mss. Qu. *πρὸς τὸ καίρι' ἐκπονεῖν*, aut *πρὸς τὸ τὰν καιρῷ πονεῖν*. Cf. Ph. 862. *καίρια φθέγγει*. El. 228. *φρονοῦντι καίρια*. Aj. 120. *δρᾶν τὰ καίρια*. Paleius male construit (*ὥστε*) *πονεῖν πρὸς τὸ καίριον*.

526. *ὁρμάσθω ταχύς*] Sc. Philoctetes. Cf. 1080. *ὁρμᾶσθαι ταχεῖς*

527. *χἠ ναῦς*] Qu. *ἡ ναῦς*.

528. *ἐκ δὲ* (*γ* sup. a m. pr.) L. *ἐκ δὲ* aut *ἔκ γε* cet. *ἔκ τε* Gernhard.

529. *βουλοίμεσθα* mss. Lege *βουλόμεσθα*. Cf. 780.

ΦΙ. ὦ φίλτατον μὲν ἦμαρ, ἥδιστος δ' ἀνὴρ,
φίλοι δὲ ναῦται, πῶς ἂν ὕμιν ἐμφανὴς
ἔργῳ γενοίμην ὥς μ' ἔθεσθε προςφιλῆ;
ἴωμεν, ὦ παῖ, προσκύσαντε τὴν ἔσω
ἄοικον εἰσοίκησιν, ὥς με καὶ μάθῃς
ἀφ' ὧν διέζων ὥς τ' ἔφυν εὐκάρδιος.
οἶμαι γὰρ οὐδ' ἂν ὄμμασιν μόνον θέαν
ἄλλον λαβόντα πλὴν ἐμοῦ τλῆναι τάδε·
ἐγὼ δ' ἀνάγκῃ προὔμαθον στέργειν κακά.
ΧΟ. ἐπίσχετον μάθωμεν· ἄνδρε γὰρ δύο,
ὁ μὲν νεὼς σῆς ναυβάτης, ὁ δ' ἀλλόθρους,
χωρεῖτον, ὧν μαθόντες αὖθις εἴσιτον.

ΕΜΠΟΡΟΣ.

Ἀχιλλέως παῖ, τόνδε τὸν ξυνέμπορον,
ὃς ἦν νεως σῆς σὺν δυοῖν ἄλλοιν φύλαξ,
ἐκέλευσ' ἐμοί σε ποῦ κυρῶν εἴης φράσαι,
ἐπείπερ ἀντέκυρσα, δοξάζων μὲν οὔ,
τύχῃ δέ πως πρὸς ταὐτὸν ὁρμισθεὶς πέδον.
πλέων γὰρ ὡς ναύκληρος οὐ πολλῷ στόλῳ
ἀπ' Ἰλίου πρὸς οἶκον ἐς τὴν εὔβοτρυν

532. ὥς μ' ἔθεσθε προσφιλῆ] Quantopere —. Anglice how —.
534. εἰσοίκησιν mss. Qu. ἐνθάκησιν. Cf. 18. καὶ] Suspectum. Qu. νῦν. 536. μόνην mss. Lege μόνον.
538. κακά] τάδε (γρ. κακά ab S.) L.
539. ἐπίσχετον, μάθωμεν mss. Cf. Eur. Fr. 308. πάρες, ὑπερβῶ. Hipp. 567. ἐπίσχετ', αὐδὴν τῶν ἔσωθεν ἐκμάθω. 1354. σχὲς — ἀναπαύσω. Hom. Il. 6, 340. ἐπίμεινον, ἀρήϊα τεύχεα δύω. 23, 71. θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω. In hujusmodi locis virgula melius fortasse aberit. Qu. ἐπίσχες (aut ἐπίσχεθ'), ὡς μάθωμεν. Cf. O. C. 856. ἐπίσχες αὐτοῦ, ξεῖνε. μάθωμεν mss. Qu. μείνωμεν. δύω L.
541. ὧν μαθόντες αὖθις εἴσιτον mss. Qu. ὧν μαθόντε τἄντρον εἴσιτον. Postulatur, opinor, duale μαθόντε. Cf. 674. χωροῖς ἂν εἴσω.
544. ποῦ κυρῶν εἴης] Qu. ποῦ κυροίης ὤν. Cf. El. 1409. ποῦ ποτ' ὢν κυρεῖς; 1176. 1331. Ph. 30. 371. 444. 805. 1280. O. R. 258. 594. 985. O. C. 119. 414. 572. Tr. 386. 399. 406. 413. Aj. 87. 347. 542. 1345.
548. ἀπ' L. aliique duo. ἐξ cet.

Πεπάρηθον, ὡς ἤκουσα τοὺς ναύτας ὅτι
σοὶ πάντες εἶεν συννεναυστοληκότες,
ἔδοξέ μοι μὴ σῖγα, πρὶν φράσαιμί σοι,
τὸν πλοῦν ποιεῖσθαι, προστυχόντι τῶν ἴσων.
οὐδὲν σύ που κάτοισθα τῶν σαυτοῦ πέρι,
ἃ τοῖσιν Ἀργείοισιν ἀμφὶ σοῦ νέα
βουλεύματ' ἔστι, κοὐ μόνον βουλεύματα,
ἀλλ' ἔργα δρώμεν', οὐκέτ' ἐξαργούμενα.
ΝΕ. ἀλλ' ἡ χάρις μὲν σῆς προμηθίας, ξένε,
εἰ μὴ κακὸς πέφυκα, προσφιλὴς μενεῖ·
φράσον δ' ἅπερ γ' ἔλεξας, ὡς μάθω τί μοι
νεώτερον βούλευμ' ἀπ' Ἀργείων ἔχεις.
ΕΜ. φροῖδοι διώκοντές σε ναυτικῷ στόλῳ
Φοῖνιξ ὁ πρέσβυς οἵ τε Θησέως κόροι.
ΝΕ. ὡς ἐκ βίας μ' ἄξοντες ἢ δόλοις πάλιν;
ΕΜ. οὐκ οἶδ'· ἀκούσας δ' ἄγγελος πάρειμί σοι.
ΝΕ. ἦ ταῦτα δὴ Φοῖνιξ τε χοἰ ξυνναυβάται

549. *ἤκουσα τοὺς ναύτας ὅτι*] Eadem constructio est Aj. 1141. *ἀλλ' ἀντακούσει τοῦτον ὡς τεθάψεται.* Xen. Mem. IV. 2. 33. *τὸν Δαίδαλον οὐκ ἀκήκοας ὅτι ἠναγκάζετο δουλεύειν;*

550. *οἱ νεναυστοληκότες* mss. *συννεναυστοληκότες* recte Dobr.

552. *ποεῖσθαι* L. *προστυχόντι τῶν ἴσων*] "Quum ipse similem benevolentiam expertus essem." (Buttm.)

554. *ἀμφὶ σ' οὕνεκα* L. *ἀμφὶ σοῦ 'νεκα,* aut *ἀμφὶς εἵνεκα* al. *ἀμφὶ σοῦ νέα* Aur.

555. *ἔστι* (sic) L.

556. *ἐξαργούμενα*] Schol. *ἀναβολὴν ἔχοντα.* Segniter acta explicat Dind. Mendosum hoc videtur. Activa forma hujus rari vocabuli legitur Arist. Eth. I. 9. *οἷον τῷ καθεύδοντι ἢ καὶ ἄλλως πως ἐξηργηκότι.* Cum hoc loco cf. El. 1333 sq.

557. *τῆς προμηθίας*] Lege *σῆς* —.

558. *εἰ μὴ κακὸς πέφυκα, προσφιλὴς μενεῖ* mss. Fort. *εἰ μὴ κακὸς πέφυκά γ', ἀσφαλὴς μενεῖ.*

559. *ἅπερ γ'* (*γ'* om. L.) *ἔλεξας* mss. *ὅπως ἔλεξας* conj. Nauck. Qu. *ἃ νῦν δὴ 'λεξας,* aut *ἅπερ δὴ 'λεξας.*

563. *λόγοις* mss. *δόλοις* Nauck. Cf. ad 55.

565. *ἦ ταῦτα δή με*] Eadem verba sunt El. 385.

οὕτω καθ' ὁρμὴν δρῶσιν Ἀτρειδῶν χάριν;
ΕΜ. ὡς ταῦτ' ἐπίστω δρώμεν', οὐ μέλλοντ' ἔτι.
ΝΕ. πῶς οὖν Ὀδυσσεὺς πρὸς τάδ' οὐκ αὐτάγγελος
πλεῖν ἦν ἕτοιμος; ἦ φόβος τις εἶργέ νιν;
ΕΜ. κεῖνός γ' ἐπ' ἄλλον ἄνδρ' ὁ Τυδέως τε παῖς
ἔστελλον ἡνίκ' ἐξανηγόμην ἐγώ.
ΝΕ. πρὸς ποῖον ἄνδρα τοῦτον οὐδυσσεὺς ἔπλει;
ΕΜ. ἦν δή τις, ἀλλὰ τόνδε μοι πρῶτον φράσον
τίς ἐστίν· ἂν λέγῃς δὲ μὴ φώνει μέγα.
ΝΕ. ὅδ' ἔσθ' ὁ κλεινός σοι Φιλοκτήτης, ξένε.
ΕΜ. μή νύν μ' ἔρῃ τὰ πλείον', ἀλλ' ὅσον τάχος
ἔκπλει σεαυτὸν ξυλλαβὼν ἐκ τῆσδε γῆς.
ΦΙ. τί φησιν, ὦ παῖ; τί με κατὰ σκότον ποτὲ
διεμπολᾷ λόγοισι πρός σ' ὁ ναυβάτης;
ΝΕ. οὐκ οἶδά πω τί φησι· δεῖ δ' αὐτὸν λέγειν
ἐς φῶς ὃ λέξει πρὸς σὲ κἀμὲ τούσδε τε.
ΕΜ. ὦ σπέρμ' Ἀχιλλέως, μή με διαβάλῃς στρατῷ
λέγονθ' ἃ μὴ δεῖ· πόλλ' ἐγὼ κείνων ὕπο
δρῶν ἀντιπάσχω χρηστά θ' οἷ' ἀνὴρ πένης.
ΝΕ. ἐγώ εἰμ' Ἀτρείδαις δυσμενής, οὗτος δέ μοι

566. *οὕτω καθ' ὁρμὴν*] Anglice 'thus impetuously'. *ὁρμὴν*] *ἡμῶν* conj. Nauck.

567. *ὡς ταῦτ' ἐπίστω* —] Qu. *ταῦτ' ἐξεπίστω* —.

568. *αὐτάγγελον*] Cf. 500. *πομπόν τε καὐτὸν ἄγγελον.*

569. *ἦ* mss. Scrib. *ἦ*.

571. *ἐγώ* unus ms. *ἔσω* L. et cet.

572. *πρὸς ποῖον ἂν τόνδ' αὐτὸς* — mss. Lege *πρὸς ποῖον ἄνδρα τοῦτον* —. Cf. 1204. *ποῖον ἐρεῖς τόδ' ἔπος;* *ἂν* mss. *οὖν* Dissen. *αὖ* Dobr. Dind. Cf. 426.

574. *ἂν* mss. *ἂν* Heath. Br.

576. *μὴ νῦν* L.

577. *σεαυτὸν* mss. *τὰ σαυτοῦ* Dind.

582. *διαβάλλῃς* mss. *διαβάλῃς* correctum ex schol.

584. *πολλὰ — χρηστά γ'* mss. *πολλὰ — χρηστά θ'* Dobr. Cf. Aesch. Sept. 338. *πολλὰ δυστυχῆ τε πράσσει.* *οἷ' ἀνὴρ πένης* mss. Lege *ὡς ἀνὴρ πένης* (for a poor man). Cf. O. R. 763. 1118.

585. *ἐγώ εἰμ'* (in *ἐγὼ 'μ'* radendo mutatum) L. *ἔγωγ' Ἀτρείδαις* conj. Nauck. Qu. *ἐγὼ μὲν αὐτοῖς* (gl. *Ἀτρείδαις*), aut *ἔγωγ'* (gl. *εἰμί*).

φίλος μέγιστος οὕνεκ' Ἀτρείδας στυγεῖ.
δεῖ δῆτ' ἐμοί σ' ἐλθόντα προσφιλῆ 'ς λόγον
κρύψαι πρὸς ἡμᾶς μηδὲν ὧν ἀκήκοας.
ΕΜ. ὅρα τί ποιεῖς, παῖ. ΝΕ. σκοπῶ κἀγὼ πάλαι.
ΕΜ. σὲ θήσομαι τῶνδ' αἴτιον. ΝΕ. ποιοῦ λέγων.
ΕΜ. λέγω. 'πὶ τοῦτον ἄνδρε τώδ' ὥπερ κλύεις,
ὁ Τυδέως παῖς ἥ τ' Ὀδυσσέως βία,
διώμοτοι πλέουσιν ἦ μὴν ἢ λόγῳ
πείσαντες ἄξειν σφ' ἢ πρὸς ἰσχύος κράτος.
καὶ ταῦτ' Ἀχαιοὶ πάντες ἤκουον σαφῶς
Ὀδυσσέως λέγοντος· οὗτος γὰρ πλέον
τὸ θάρσος εἶχε θατέρου δράσειν τάδε.
ΝΕ. τίνος δ' Ἀτρεῖδαι τοῦδ' ἄγαν οὕτω χρόνῳ
τοσῷδ' ἐπεστρέφοντο πράγματος χάριν,
ὅν γ' ἦσαν ἤδη χρόνιον ἐκβεβληκότες;
τίς ὁ πόθος αὐτοὺς ἔσχεν ἢ θεῶν βία

586. *φίλος μέγιστος*] Qu. *φίλων* —. Cf. El. 46. *μέγιστος — δορυξένων.*

587. *τί δή σ' ἔμοιγ'* — mss. Correxi *τί δῆτ' ἐμύ σ'* —. *προσφιλῆ λόγον* mss. *προσφιλῆ λόγων* parum solerter Wund. Dind. Corrigendum proculdubio *προσφιλῆ 'ς λόγον,* 'coming to a friendly conversation with me'.

588. *μηδέν'* mss. Lege *μηδέν.*

590. *αἴτιον*] Angl. responsible for. *ποιοῦ λέγων*] Qu. *ποίων; λέγε.* Cf. Ant. 1061. *κίνει, μόνον δὲ* (*δή*?) *μὴ 'πὶ κέρδεσιν λέγων.*

593. *λόγῳ* mss. Qu. *δόλῳ* aut *δόλοις.*

594. *πείσαντες ἄξειν*] *πείσαντέ γ'* — unus. Qu. *πείσαντ' ἀπάξειν σφ'.* *ἰσχύος κράτος*] Cf. 104. *ἰσχύος θράσος* (l. *κράτος*). Eur. Med. 538. *πρὸς ἰσχύος χάριν* (*κράτος*?).

598. Connecte *ἄγαν οὕτω.* *χρόνῳ τοσῷδ'*] Schol. *διὰ τοσούτου χρόνου.*

599. *τοῦδ' ἐπεστρέφοντο*] Cf. O. R. 728. *ποίας μερίμνης τοῦτ' ἐπιστραφεὶς λέγεις;*

600. *ὅν τ'* (*ὃν* Ven.) mss. *ὅν γ'* Erf. Cf. ad Tr. 708. *εἶχον* mss. Lege *ἦσαν.*

601. *αὐτοὺς ἵκετ'*] Sic apud Homerum *ἱκάνειν τινὰ* dicuntur *ὕπνος, γῆρας,* etc. Lege *αὐτοὺς ἔσχεν.* *βία* (*φθόνος* litteris capitalibus sup.) L.

καὶ νέμεσις, οἵπερ ἔργ' ἀμύνουσιν κακά;
ΕΜ. ἐγώ σε τοῦτ', ἴσως γὰρ οὐκ ἀκήκοας,
πᾶν ἐκδιδάξω. μάντις ἦν τις εὐγενής,
Πριάμου μὲν υἱὸς, ὄνομα δ' ὠνομάζετο
Ἕλενος, ὃν οὗτος νυκτὸς ἐξελθὼν μόνος
ὁ πάντ' ἀκούων αἰσχρὰ καὶ λωβήτ' ἔπη
δόλιος Ὀδυσσεὺς εἷλε δέσμιόν τ' ἄγων
ἔδειξ' Ἀχαιοῖς ἐς μέσον, θήραν καλήν·
ὃς δὴ τά τ' ἄλλ' αὐτοῖσι πάντ' ἐθέσπισε
καὶ τἀπὶ Τροίᾳ Πέργαμ' ὡς οὐκ ἄν ποτε
πέρσειαν, εἰ μὴ τόνδε πείσαντες λόγῳ
ἀγάγοιντο νήσου τῆσδ' ἐφ' ἧς ναίει τανῦν.
καὶ, ταῦθ' ὅπως ἤκουσ' ὁ Λαρτίου τόκος
τὸν μάντιν εἰπόντ', εὐθέως ὑπέσχετο
τὸν ἄνδρ' Ἀχαιοῖς τόνδε δηλώσειν ἄγων·
οἴοιτο μὲν μάλισθ' ἑκούσιον λαβὼν,
εἰ μὴ θέλοι δ', ἄκοντα· καὶ τούτων κάρα
τέμνειν ἐφεῖτο τῷ θέλοντι μὴ τυχών.
ἤκουσας, ὦ παῖ, πάντα· τὸ σπεύδειν δέ σοι
καὐτῷ παραινῶ κεἴ τινος κήδει πέρι.

602. *ἀμύνουσιν*] Anglice requite. Cf. O. C. 1128. Lege *ἀμύνονται.*

608. *τ'* L. aliique. *δ'* al.

610. *ἐθέσπισε* (sic) L.

611. *ὡς οὐ μή ποτε | πέρσωσιν* mss. Lege *ὡς οὐκ ἄν ποτε | πέρσειαν.*

612. *πέρσοιεν* mss. *πέρσειαν* Elmsl. Bl.

613. *ἄγοιντο* mss. *ἀγάγοιντο* Bl. Sc. secum. Cf. O. C. 1460. *ἄγοιντο νήσου* mss. 'Ab hac insula abducerent'. Cf. 630. *νεὼς ἄγοντα.* 1002. O. R. 142. El. 324. *τὰ νῦν* (sic) L.

614. *Λαέρτου* mss. Correxi *Λαρτίου.*

617. *οἴοιτο μὲν* —] Supple (*λέγων ὅτι*) *οἴοιτο μὲν* —. Cf. Lys. 130, 31. *οἴοιτο δὲ καὶ ἄλλο τι ἀγαθὸν — εὑρήσεσθαι.*

618. *κάρα τέμνειν*] Cf. Hom. Il. 2, 259. *μηκέτ' ἔπειτ' Ὀδυσῆι κάρη ὤμοισιν ἐπείη — εἰ μὴ ἐγὼ* etc.

619. *ἐφεῖτο*] Cf. Tr. 286. El. 1111.

3*

ΦΙ. οἴμοι τάλας. ἦ κεῖνος, ἡ πᾶσα βλάβη,
ἔμ' εἰς Ἀχαιοὺς ὤμοσεν πείσας στελεῖν;
πεισθήσομαι γὰρ ὧδε κἀξ Ἅιδου θανὼν
πρὸς φῶς ἀνελθεῖν, ὥσπερ οὐκείνου πατήρ.
ΕΜ. οὐκ οἶδ' ἐγὼ ταῦτ'· ἀλλ' ἐγὼ μὲν εἶμ' ἐπὶ
ναῦν, σφῷν δ' ὅπως ἄριστα συμφέροι θεός.
ΦΙ. οὔκουν τάδ', ὦ παῖ, δεινά, τὸν Λαερτίου
ἔμ' ἐλπίσαι ποτ' ἂν λόγοισι μαλθακοῖς
δεῖξαι νεὼς ἄγοντ' ἐν Ἀργείοις μέσοις;
οὖ θᾶσσον ἂν τῆς πλεῖστον ἐχθίστης ἐμοὶ
κλύοιμ' ἐχίδνης, ἥ μ' ἔθηκεν ὧδ' ἄπουν.
ἀλλ' ἔστ' ἐκείνῳ πάντα λεκτά, πάντα δὲ
τολμητά· καὶ νῦν οἶδ' ὁθούνεχ' ἵξεται.
ἀλλ', ὦ τέκνον, χωρῶμεν, ὡς ἡμᾶς πολὺ
πέλαγος ὁρίζῃ τῆς Ὀδυσσέως νεώς.
[ἴωμεν· ἥ τοι καιρία σπουδὴ πόνου
λήξαντος ὕπνον κἀνάπαυλαν ἤγαγεν.]
ΝΕ. οὐκοῦν, ἐπειδὰν πνεῦμα τοὐκ πρῴρας ἀνῇ,
τότε στελοῦμεν· νῦν γὰρ ἀντιοστατεῖ.
ΦΙ. ἀεὶ καλὸς πλοῦς ἔσθ', ὅταν φεύγῃς κακά.
ΝΕ. οἶδ', ἀλλὰ κἀκείνοισι ταῦτ' ἐναντία.

622. ἡ πᾶσα βλάβη] Cf. El. 301. ὁ πάντ' ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη. 624. ὧδε] Anglice so, at this rate.

625. οὐκείνου πατήρ] Sisyphus.

630. νεὼς ἄγοντ'] I. e. 'a nave ducentem'. Cf. 613. ἄγοιντο νήσου τῆσδε. Aesch. Cho. 289. διώκεσθαι (διώκεσθαι 'κ?) πόλεως. Qu. δεῖξαι 'κ νεὼς ἄγοντ'.

631. οὐ. θᾶσσον mss. οὖ θᾶσσον Welcker. Wund. Dind. Bl. ἦ θᾶσσον Schneid.

636. ὁρίζει mss. ἕως (pro ὡς) — ὁρίζει Herm. ὁρίζῃ Br. Aliud quid verbum requiri videtur, i. q. ἀποχωρίζῃ (separet) significans. τῆς — mss. Qu. 'κ τῆς —.

637. καίριος σπουδὴ mss. Lege καιρία σπουδή. Cf. O. R. 631. καιρίαν — στείχουσαν. Aesch. Cho. 1064. καιρίοισι (καιρίαισι?) συμφοραῖς. 638. ἤγαγεν] Ferre solet. Cf. Aj. 674.

639. ἄῃ (gl. παρῇ) L. ἀγῇ al. ἀνῇ Pierson.

642. οὐκ mss. οἶδ' Doederlein. Dind. Schn. Recte. ταῦτ'. Qu. ταὖτ'.

ΦΙ. οὐκ ἔστι λῃσταῖς πνεῦμ' ἐναντίον πνέον
ὅταν παρῇ κλέψαι τι χἀρπάσαι βίᾳ.
ΝΕ. ἀλλ', εἰ δοκεῖ, χωρῶμεν, ἔνδοθεν λαβὼν
ὅτου σε χρεία καὶ πόθος μάλιστ' ἔχει.
ΦΙ. ἀλλ' ἔστιν ὧν δεῖ, καίπερ οὐ πολλῶν ἄπο.
ΝΕ. τί τοῦθ' ὃ μὴ 'πὶ τῆς ἐμῆς νεὼς ἔπι;
ΦΙ. φύλλον τί μοι πάρεστιν, ᾧ μάλιστ' ἀεὶ
κοιμῶ τόδ' ἕλκος, ὥστε πραΰνειν πόνον.
ΝΕ. ἀλλ' ἔκφερ' αὐτό. τί γὰρ ἔτ' ἄλλ' ἐρᾷς λαβεῖν;
ΦΙ. εἴ μοί τι τόξων τῶνδ' ἀτημελημένον
παρερρύηκεν, ὡς λίπω μή τῳ λαβεῖν.
ΝΕ. ἦ ταῦτα γὰρ τὰ κλεινὰ τόξ' ἃ νῦν ἔχεις;
ΦΙ. ταῦτ', οὐ γὰρ ἄλλ' ἔστ', ἀλλ' ἃ βαστάζω χεροῖν.
ΝΕ. ἆρ' ἔστιν ὥστε κἀγγύθεν θέαν λαβεῖν,
καὶ βαστάσαι σφε προσκύσαι θ' ὥσπερ θεόν;
ΦΙ. σοί γ', ὦ τέκνον, καὶ τοῦτο κἄλλο τῶν ἐμῶν
ὁποῖον ἄν σοι ξυμφέρῃ δοθήσεται.
ΝΕ. καὶ μὴν ἐρῶ γε, τὸν δ' ἔρωθ' οὕτως ἔχω,

643. *ἐναντιούμενον* mss. Scripserat, ni fallor, *ἐναντίον πνέον*. Schol. *τὰ ἡμᾶς ἐπέχοντα κἀκείνους ἐπέχει.*

644. *κλέψαι τε* (*αι τε* in litura) L. *κλέψαι τι* Bergk. Qu. *κλέψαντας.*

645. *χωρῶμεν — λαβὼν*] Similiter Aesch. Eum. 141. *κἀπολακτίσασ' ὕπνον | ἰδώμεθ' —.* *λαβὼν* mss. *λαβόνθ'* Dobr. Sic *μολόντ'* in fine trimetri O. C. 1164. Cf. ad 777.

648. *ὃ μὴ νεώς γε τῆς ἐμῆς ἔνι* mss. Lege *ὃ μὴ 'πὶ τῆς ἐμῆς νεὼς ἔπι.* *ἔνι* mss. *ἔπι* Wakef. Erf. Recte.

650. *πάνυ* mss. *ταχύ* Mein. Ipse malim *πόνον.*

652. *ἀπημελημένον* mss. Verbum inauditum. Lege *ἀτημελημένον.* Cf. Aesch. Ag. 891. *λαμπτηρουχίας | ἀτημελήτους.* Xen. Cyr. V. 4. 18. VIII. 1. 14. Fort. *τῶνδέ γ' ἠμελημένον.*

655. *ἀλλ'* (sic) *ἔσθ'* L. *ἄλλα γ' ἔσθ'* plerique mss. *ἀλλ' ἔσθ' ἄλλ'* Γ. *οὐ γὰρ ἔστιν ἄλλ'* conj. Nauck. Lege *ἄλλ' ἔστ', ἀλλ' —.*

656. Valde similis locus est El. 1454. *πάρεστ' ἆρ' ἡμῖν ὥστε κἀμφανῆ μαθεῖν* (*σφ' ἰδεῖν*?);

657. *βαστάσαι με* mss. Lege *βαστάσαι σφε* (aut *τε*).

659. *γενήσεται* mss. Correxi *δοθήσεται.*

εἴ μοι θέμις, θέλοιμ' ἄν· εἰ δὲ μὴ, πάρες.
ΦΙ. ὅσιά τε φωνεῖς ἔστι τ', ὦ τέκνον, θέμις,
ὅς γ' ἡλίου τόδ' εἰσορᾶν ἐμοὶ φάος
μόνος δέδωκας, ὃς χθόν' Οἰταίαν ἰδεῖν,
ὃς πατέρα πρέσβυν, ὃς φίλους, ὃς τῶν ἐμῶν
ἐχθρῶν ἔνερθεν ὄντ' ἀνέστησάς μ' ὕπερ.
θάρσει, παρέσται ταῦτά σοι καὶ βαστάσαι
καὶ δοντὶ δοῦναι κἀξεπεύξασθαι βροτῶν
ἀρετῆς ἕκατι τῶνδ' ἐπιψαῦσαι μόνον·
εὐεργετῶν γὰρ καὐτὸς αὔτ' ἐκτησάμην.
ΝΕ. οὐκ ἄχθομαί σ' ἰδών τε καὶ λαβὼν φίλον.
ὅστις γὰρ εὖ δρᾶν εὖ παθὼν ἐπίσταται
παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος.
χωροῖς ἂν εἴσω. ΦΙ. καὶ σέ γ' εἰσάξω· τὸ γὰρ
νοσοῦν ποθεῖ σε ξυμπαραστάτην λαβεῖν.

Στροφὴ α.

ΧΟ. λόγῳ μὲν ἐξήκουσ', ὄπωπα δ' οὐ † μάλα,
τὸν πελάταν λέκτρων ποτὲ τῶν Διὸς

661. *πάρες*] Anglice 'pass it by, disregard my request'. (Pal.) Nos diceremus never mind. Suspectum. *οὐ θέλω* proponit Nauck. Qu. *εἰ δὲ μὴ, οὐκ ἐρῶ.*

666. *ἐχθρῶν μ' — ἀνέστησας πέρα* mss. Suspectum. Corrigendum suspicor *ἐχθρῶν — ἀνέστησάς μ' ὕπερ.* *πέρα* mss. Qu. *πάλιν.*

667. *ταῦτα — θιγγάνειν* mss. Qu. *τῶνδε — θιγγάνειν,* aut *ταῦτά σοι καὶ βαστάσαι* (gl. *θιγγάνειν*).

668. *καὶ δοντὶ δοῦναι* mss. Qu. *κᾆτ'* (aut *κἄπ'*) *αὐτὰ δοῦναι,* aut *κᾆτ' ἀντιδοῦναι,* aut *καὶ στόματι δοῦναι* (coll. 657.). Cf. 774. *θάρσει — οὐ δοθήσεται | πλὴν σοί τε κἀμοί.* Qui locus codicum lectionem confirmat. Sed fortasse vera est vulgata. *κἀξεπεύξασθαι* mss. Qu. *κᾆτ'* (aut *χἄμ'*) *ἐπεύξασθαι.*

671—673. Neoptolemo dat Doederlein. Spurios iure habet Dind.

673. *παντὸς — κτήματος*] Nonne *πάντων — κτημάτων*?

676. *οὐ μάλα*] *μάλα* hic vim intensivam habet, ut in *μάλ' αὖ, μάλ' αὖθις, μάλ' εὖ,* etc. Suspectum. Qu. *οὔ ποτε.*

677. *τῶν* addidit Porson.

ἀνὰ δρομάδ' ἄντυγα δέσμιον ὡς ἔβαλ' ὁ παγκρατὴς
Κρόνου παῖς·
ἄλλον δ' οὔτιν' ἔγωγ' οἶδα κλύων οὐδ' ἐσιδὼν μοίρᾳ
τοῦδ' ἐχθίονι συντυχόντα θνατῶν,
ὃς οὔτ' † ἔρξας τι οὔτε νοσφίσας,
ἀλλ' ἴσος, εἴ τις, ὢν ἀνὴρ
ὤλλυτ' ἀνάξι' οὕτως. τόδε δὴ θαῦμά μ' ἔχει,
πῶς ποτε, πῶς ποτ', ἀμφιπλάκτων ῥοθίων μένος κλύων,
πῶς ἄρα πανδάκρυτον οὕτω βιοτὰν ἀνέτλα·

Ἀντιστροφὴ α.

ἵν' αὐτὸς ἦν πρόσουρος, οὐκ ἔχων βάσιν

678. *Ἰξίονα κατ' ἄμπυκα* mss. *Ἰξίον' ἂν ἄμπυκα* Dind. *ἄμπυκα* mss. *ἄντυγα* Musgr.

679. *δρομάδα δέσμιον ὡς* mss. *δρομάδ' ὡς* Dind. *κατὰ δρομάδ' ἄμπυκα δέσμιον ὡς ἔβαλεν* Herm. *ἔλαβ'* mss. *ἔβαλ'* Wakef. *ἐπέδησ'* Gleditsch.

680. *ὁ παγκρατὴς Κρόνου παῖς*] Cf. Eur. Fr. 431. *ὁ παγκρατὴς — Ζεύς.*

684. *οὔτ' ἔρξας τιν'* mss. *οὐ πέρσας τιν'* — conj. Jebb. Qu. *οὐ σφάξας τιν' οὐδὲ νοσφίσας,* aut *οὔτ' ἔρξας τι —,* aut *οὐ βλάψας τιν' οὐδὲ —.* Duo participia ad duplex Ixionis scelus spectant.

685. *ἀλλ' ἴσος ἐν ἴσοις ἀνὴρ* mss. *ἀλλ' ἴσος εἴ τις ὢν ἀνὴρ* optime Burgess. Bl. *ἐν ἴσοις* mss. *ἔν γ' ἴσοις* Herm. *ὢν ἴσοις* Schultz. Qu. *ἀλλὰ δίκαιος ὢν ἀνήρ.* Cf. Eur. Fr. 692, 2. *τοῖς μὲν δικαίοις ἔνδικος, τοῖς δ' αὖ κακοῖς | πάντων μέγιστος πολέμιος κατὰ χθόνα* (Schn.).

686. *ὤλλυθ'* mss. *ὠλέκεθ'* Dind. *ἀναξίως* mss. *ἀτίμως* Erf.

687. *τόδε θαῦμ' ἔχει με* mss. *τόδε δ' αὖ θαῦμά μ' ἔχει* Weckl. *τόδε τοι θαῦμά μ' ἔχει* Dind. Ipse correxi *τόδε δὴ θαῦμά μ' ἔχει.*

688. *ἀμφιπλήκτων* mss. *ἀμφιπλάκτων* Dind. Sic *ἁλίπλακτος* Aj. 588. *μόνος* mss. Lege *μένος* (vim).

689. *μόνος* mss. Correxi *μένος* (vim). Cf. Aesch. Eum. 832. *κοίμα κελαινοῦ κύματος πικρὸν μένος.* Ag. 305. *ἀφθόνῳ μένει φλογός.*

690. *κατέσχεν* mss. *ἀνέτλα* conj. Dind. Recte, opinor. Cf. O. C. 239.

691. *αὐτὸς* mss. Corrigendum forsan *οἶος* (solus). *πρόσουρος* mss. Suspectum. Qu. *ἀμαυρός* (debilis), nisi latet accusativus aliquis qualis est *βέβαιον,* cum *βάσιν* construendus. *πρόσουρος* (confinis)

οὐδέ τιν' ἔγχωρον καὶ ἀγείτονα
παρ' ᾧ νόσον †ἀντίτυπον βαθυβρῶτ' ἀποκλαύσειεν
αἱματηράν·
οὐδ' ὃς θερμοτάταν αἱμάδα κηκιομέναν ἑλκέων 696
ἐνθήρου ποδὸς ἠπίοισι φύλλοις
κατευνάσειεν, εἴ τῳ ἐμπέσοι,

aliquoties legitur apud Herodotum. *οὐκ ἔχων βάσιν*] Qu. *οὐδ' ἔχων βάσιν*. Cf. Aesch. Eum. 36. *μηδέ μ' ἀκταίνειν βάσιν*. *βάσιν*] Sensui bene conveniret *φίλον* (*πρόσουρον*).

692. *ἐγχώρων* mss. *ἔγχωρον* Dobr. Lege *ἔγχωρον*. Cf. Lucian. Tim. 43. *θεοῖς θυέτω καὶ εὐωχείτω μόνος ἑαυτῷ γείτων καὶ ὅμορος*. Qui hunc locum in mente habuisse videtur. *κακογείτονα* mss. Lege *καὶ ἀγείτονα*. Cf. Eur. El. 1130. *ἀγείτονα φίλων*.

693. *στόνον — αἱματηρόν* mss. Qu. *νόσον — αἱματηράν*, quum aegre *βαρυβρὼς αἱματηρὸς* dici posse videatur *στόνος*. Cf. tamen 695. et v. 1460. *στόνον ἀντίτυπον* (schol. *ἀμοιβαῖον, ἀντίμιμον*). Ant. 592. *στόνῳ βρέμουσιν ἀντιπλῆγες ἀκταί*. Vitiosum hic esse *ἀντίτυπον* suspicandi locus est. Similiter mons Lemni insulae *Ἑρμαῖον* gementi Philocteti gemitum repercussum (*στόνον ἀντίτυπον*) remittit infra 1460. Corruptelam invexit aliquis qui locum non intelligebat, in mente versum similem habens 1460. *ἀντίτυπον* mss. Correxi *ἀντιτύπῳ* (Anglice responsive to, sympathetic). Loco sic emendato optime evadit sensus.

694. *βαρυβρῶτ' ἀποκλαύσειεν*] *βαρυβρῶτα ποδὸς κλαύσειεν* Gleditsch. Cf. 7. *νόσῳ καταστάζοντα διαβόρῳ πόδα*. 313. *τὴν ἀδηφάγον νόσον*. *βαρυβρῶτ'* mss. Reponendum, ni fallor, *βαθυβρῶτ'* (profunde edentem). Cf. tamen 1330. *τῆσδε νόσου βαρείας*.

695. *αἱματηρὸν* mss. *αἱματηροῦ* Gleditsch. Sic v. 209. *αὐδὰ τρυσάνωρ*. Ant. 794. *νεῖκος ἀνδρῶν ξύναιμον*. Aesch. Sept. 348. *βλαχαὶ αἱματόεσσαι — βρεφῶν*.

696. *οὐδ' ὅς τὰν* mss. *ὅς τὰν* Herm. *οὐδ' ὅς* recte Erf. *θερμοτάταν*] Fort. *θερμορύταν*. *αἱμάδα*] Schol. *τὴν τοῦ αἵματος ῥύσιν*.

697. *ἐνθήρου*] Efferati. Anglice of his angry and inflamed foot. Cf. Aesch. Ag. 562. Eur. Rhes. 289.

699. *κατευνάσειεν*] A *κατευνάω*, non a *κατευνάζω*. Cf. 1333. *εἴ τις ἐμπέσοι* mss. *εἴ τι ἐμπέσοι* Dind. *εἴ τι συμπέσοι* Seyffert. Ipse tentabam *εἴ τῳ ἐμπέσοι*. *Αἱμὰς* subintelligit Pal., coll. Tr. 1259. *πρὶν ἐμπεσεῖν σπαραγμόν*. Recte, opinor. *ἐμπέσοι*] Qu. *ἐντύχοι*.

φορβάδος ἐκ γαίας ἑλών·
εἷρπε δ' ἂν ἄλλοτ' ἄλλαν ὁδὸν εἰλυόμενος,
παῖς ἄτερ ὡς φίλας τιθήνας, ὅθεν εὐμάρει' υπαρ-
χοι πόρου, ἀνίκ' ἐξανείη δακέθυμος ἄτα·

Στροφὴ β.

οὐ φορβὰν ἱερᾶς γᾶς σπόρον, οὐκ ἄλλων
αἴρων τῶν νεμόμεσθ' ἀνέρες ἀλφησταί,
πλὴν ἐξ ὠκυβόλων εἴ ποτε τόξων
πτανοῖς ἰοῖς ἀνύσειε γαστρὶ φορβάν.
ὢ μελέα ψυχά,
ὃς μηδ' οἰνοχύτου πώματος ἥσθη δεκέτει χρόνῳ,
διψῶν δ', εἴ που γνοίη, στατὸν εἰς ὕδωρ
ἀεὶ πόδ' ἐνώμα.

Ἀντιστροφὴ β.

νῦν δ' ἀνδρῶν ἀγαθῶν παιδὶ συναντήσας

700. ἔκ τε γᾶς mss. ἐκ γαίας optime Dind. ἑλεῖν mss. ἑλών Schneid. Nauck.

701. ἕρπει γὰρ mss. εἷρπε γὰρ Both. Qu. εἷρπε δ'.

703. εὐμάρει'] Facilitas. Cf. 284. Qu. εὐμαρὴς — πόρος.

705. πόρον L. et schol. πόρων vulg. πόρου Wakef. ἐξανίησι (ἐξανεί ησι μοι, littera ante η erasa) L. ἐξανίῃ, ἐξανίῃς, ἐξανίῃ al. ἐξανείη Herm. Cf. 767. τὸ κακὸν ἐξανῇ (ἐξίῃ mss.) τόδε.

706. οὐκ ἄλλων] Qu. οὐδ' ἄλλων.

707. αἴρων] Schol. λαμβάνων.

710. εἴ ποτε] 'Si forte unquam'. Sic εἴ ποθι πλαζόμενον Aj. 886.

711. πτανῶν ἀνύσειε πτανοῖς mss. πτανοῖς ἰοῖς ἀνύσειε Erf. Cf. 166. πτηνοῖς ἰοῖς. 1109. πτανῶν ἀπ' ἐμῶν ὅπλων.

715. οἰνοχύτου πώματος ἥσθη] I. e. οἴνου. Similiter κρήναισι — ὑδροχύτοις (i. e. ὕδατι). Genitivus quia inest notio τοῦ πλησθῆναι. Frequens autem vini epithetum apud Homerum est ἡδύς. Schol. ἀντὶ τοῦ ἐξεπλήσθη. Paleius versum ἀμφότεροι κρυεροῖο τεταρπώμεσθα γόοιο apte apponit. Cf. Lucian. Epist. Sat. I. 22. ἀνθοσμίου (οἴνου) μεθύσκεσθαι. Qu. ἥφθη (i. q. ἥψατο?) aut ἔθιγεν.

716. λεύσσων mss. Correxi διψῶν. ὅπου mss. εἴ που Br.

717. προσενώμα mss. πόδ' ἐνώμα optime Wakef. Cf. O. R. 468. φυγᾷ πόδα νωμᾶν. Aj. 369.

εὐδαίμων † ἀνύσει καὶ μέγας ἐκ κείνων·
ὅς νιν ποντοπόρῳ δούρατι πλήθει
πολλῶν μηνῶν πατρίαν ἄγει πρὸς αυλὰν
Μηλιάδων νυμφᾶν
Σπερχειοῖο παρ' ὄχθαις, ἵν' ὁ χάλκασπις ἀνὴρ θεοῖς
πλάθει † πᾶσιν, θείῳ πυρὶ παμφαής,
Οἴτας ὑπὲρ ὄχθων.
ΝΕ. ἕρπ', εἰ θέλεις. τί δή ποθ' ὧδ' ἐξ οὐδενὸς
λόγου σιωπᾷς κἀπόπληκτος ὧδ' ἔχεις;
ΦΙ. ἀᾶ, ἀᾶ.
ΝΕ. τί ἐστιν; ΦΙ. οὐδὲν δεινόν. ἀλλ' ἴθ', ὦ τέκνον.
ΝΕ. μῶν ἄλγος ἴσχεις τῆς παρεστώσης νόσου;
ΦΙ. οὐ δῆτ' ἔγωγ', ἀλλ' ἄρτι κουφίζειν δοκῶ.
ὦ θεοί. ΝΕ. τί τοὺς θεοὺς ὧδ' ἀναστένων καλεῖς;

719. *παιδὸς ὑπαντήσας* mss. Hoc ferri non potest. Lege *παιδὶ ὑπαντήσας* (aut *συναντήσας*). Et sic Mein. Cf. Arist. Pl. 770. Pind. P. 8, 84. Aesch. Suppl. 36. *ἀγρίας ἁλὸς ἀντήσαντες*.

720. *εὐδαίμων ἀνύσει*] I. e. *ἀνύσει ὥστε εὐδαίμων γενέσθαι*. Mira et inaudita locutio. Num *εὐδαίμων ἔσεται* (qu.) scripsit? *ἐκ κείνων*] Post istum rerum statum. Cf. 1422. *ἐκ τῶν πόνων τῶνδ' εὐκλεᾶ θέσθαι βίον*.

721. *πλήθει πολλῶν μηνῶν*] 'After the full accomplishment of many months.

723. *πατρῴαν* mss. *πατρίαν* Porson.

726. *Σπερχειοῦ τε* mss. Lege *Σπερχειοῖο*. *ὄχθαις* mss. *ὄχθας* Linwood. Dind. Pal.

726 sq. *ἀνὴρ θεοῖς πλάθει πᾶσιν* mss. *ἀνὴρ θεοῖς πλάθει θεὸς* Herm. *ἀνὴρ θεὸς πλάθει θεοῖς* Schneid.

731. *κἀπόπληκτος ὧδ' ἔχει* (*ἔχῃ* L.) mss. Qu. *κἀπόπληκτος ὧδ' ἔχεις*. Cf. El. 789. *ὡς ὧδ' ἔχων ὑβρίζει*. Ph. 255. *ὧδ' ἔχοντος* (*μου*). Aut *κἀπόπληκτος ἵστασαι*. Aut fortasse *κἀπόπληκτος ὡς ἔχεις*. Cf. Ant. 256. *ἄγος φεύγοντος ὥς*. El. 66. *ἄστρον ὥς*. Tr. 771. Aj. 258. 322. etc. 732. 739. *ἀὰ ἀά*. pr. *ἆ ἆ ἆ ἆ* L.

733. *τί ἔστιν;* mss. *τί δ' ἔστιν;* Erf. Nihil opus.

735. *κουφίζειν*] Anglice to feel easier. Cf. Hippocr. Epist. 11, 10. *ἐκούφισεν ὀλίγῳ, κατενόει μᾶλλον*. Ib. 11. *τὰ δ' ἄλλα διεκούφισεν*.

736. *ὦ θεοί*] *ἰὼ θεοί* (extra v. positum) L. aliique duo meliores mss. *τί τοὺς θεοὺς οὕτως ἀναστένων καλεῖς* alii. Cf. Eur. Iph. T. 762.

ΦΙ. σωτῆρας αὐτοὺς ἠπίους θ' ἡμῖν μολεῖν.
ἀᾶ, ἀᾶ.
ΝΕ. τί ποτε πέπονθας; οὐκ ἐρεῖς οὐδ' ὧδ' ἔσει
σιγηλός; ἐν κακῷ δέ τῳ φαίνει κυρεῖν.
ΦΙ. ἀπόλωλα, τέκνον, κοὐ δυνήσομαι κακὸν
κρύψαι παρ' ὑμῖν. ἀτταταῖ· διέρχεται,
διέρχεται. δύστηνος, ὢ τάλας ἐγώ.
ἀπόλωλα, τέκνον· βρύκομαι, τέκνον· παπαῖ,
ἀπαππαπαῖ, παπαππαπαππαπαππαπαῖ.
πρὸς θεῶν, πρόχειρον εἴ τί σοι, τέκνον, πάρα
ξίφος χεροῖν, πάταξον εἰς ἄκρον πόδα·
ἀπάμησον ὡς τάχιστα· μὴ φείσῃ βίου.
ἴθ', ὦ παῖ.
ΝΕ. τί δ' ἔστιν οὕτω νεοχμὸν ἐξαίφνης ὅτου
τοσήνδ' ἰυγὴν καὶ στόνον σαυτοῦ ποιεῖς;
ΦΙ. οἶσθ', ὦ τέκνον. ΝΕ. τί ἐστίν; ΦΙ. οἶσθ' ὦ παῖ.
ΝΕ. τί σοι;
οὐκ οἶδα. ΦΙ. πῶς οὐκ οἶσθα; παππαπαππαπαῖ.

ὦ θεοί. ΙΦ. τί τοὺς θεοὺς (*τί θεοὺς ὧδ'* Seidler) *ἀνακαλεῖς ἐν τοῖς ἐμοῖς;* 780. *τί ταῦτ' ὀδύρει;* *καλεῖς*] *βοᾷς* (*γρ. καλεῖς*) *Γ*.

740. *ἀλλ'* — mss. Lege *οὐδ'* —. Aut *οὐκ ἐρεῖς τι οὐδ' ἔσει* —. *ἀλλ' ὧδ' ἔσει* Pal.

741. *φαίνει κυρῶν*] Nonne. *φαίνει κυρεῖν*? Cf. Fr. 726 D. *οὐ κόσμος ἀλλ' ἀκοσμία* | *φαίνοιτ' ἂν εἶναι.* Ph. 23. Aj. 984. *ποῦ μοι γῆς κυρεῖ τῆς Τρῳάδος.* 314. *ἐν τῷ πράγματος κυροῖ ποτε.* El. 46.

743. *διέρχεται* mss. Qu. *τόδ' αὖ πάλιν.*

744. *διέρχεται. δύστηνος* mss. Qu. *διέρχεταί μ' ἤδ' αὖθις.* Cf. 758.

745. *βρύκομαι*] Cf. Tr. 987. *ἤδ' αὖ* (*νόσος*) *μιαρὰ βρύκει.* *τέκνον, παπαῖ*] *παπαῖ παπαῖ* conj. Nauck.

746. *ἀπα. παπᾶ. παπᾶ. παπᾶ. παπᾶ παπαῖ* L. Correxit Herm. Qu. *παπαῖ παπαῖ. παπαῖ παπαῖ. παπαῖ παπαῖ.* V. Dind. ed. Ox.

751. *ὅτου*] Qu. *ὅτι.* 752. *ποεῖς* L.

753. *τί ἔστιν* L. *τί δ' ἔστιν Γ.* Fort. ex 751. *σοι* (sic).

754. *ΦΙ. οὐκ οἶδα. ΝΕ. πῶς οὐκ οἶσθα; ΦΙ. παππ* — mss. Correxit Both. *πάπ*(*π*)*απάπ*(*π*)*ᾶπαῖ* (duobus *π*, quae inclusa sunt, a pr. m. additis) L. *πάππαπάππαπαῖ* aut *πάπα πάπα παῖ* al. *παππαπαππαπαί* Br. et (-*παῖ*) Dind.

ΝΕ. δεινόν γε τοὐπίσαγμα τοῦ νοσήματος.
ΦΙ. δεινὸν γὰρ οὐδὲ ῥητόν· ἀλλ' οἴκτειρέ με.
ΝΕ. τί δῆτα δράσω; ΦΙ. μή με ταρβήσας προδῷς·
ἥκει γὰρ αὕτη διὰ χρόνου πλάνους ἴσους
ὡς ἐξεπλήσ'. ΝΕ. ἰὼ ἰὼ δύστηνε σύ,
δύστηνε δῆτα διὰ βροτῶν πάντων φανείς.
βούλει λάβωμαι δῆτα καὶ θίγω τί σου;
ΦΙ. μὴ δῆτα τοῦτό γ'· ἀλλά μοι τὰ τόξ' ἑλὼν
τάδ', ὥσπερ ᾔτου μ' ἀρτίως, ἕως ἀνῇ
τὸ πῆμα τοῦτο τῆς νόσου τὸ νῦν παρόν,
σῶζ' αὐτὰ καὶ φύλασσε. λαμβάνει γὰρ οὖν
ὕπνος μ', ὅταν περ τὸ κακὸν ἐξανῇ τόδε·
κοὐκ ἔστι λῆξαι πρότερον· ἀλλ' ἐᾶν χρεὼν
ἕκηλον εὕδειν μ'. ἢν δὲ τῷδε τῷ χρόνῳ
μόλωσ' ἐκεῖνοι, πρὸς θεῶν ἐφίεμαι
ἑκόντα μηδ' ἄκοντα μηδέ τῳ τέχνῃ
κείνοις μεθεῖναι ταῦτα, μὴ σαυτόν θ' ἅμα
κἄμ', ὄντα σαυτοῦ πρόστροπον, κτείνας γένῃ.
ΝΕ. θάρσει προνοίας γ' εἵνεκ'· οὐ δοθήσεται
πλὴν σοί τε κἀμοί· ξὺν τύχῃ δὲ πρόσφερε.
ΦΙ. ἰδοὺ δέχου, παῖ· τὸν φθόνον δὲ πρόσκυσον,

759. *εἴκει — χρόνου παλίσσυτος* Heimsoeth. *πλάνοις ἴσως* mss. *πλάνοις ἴσοις* Both. probat Dind. Correxi *πλάνους ἴσους*.

760. *ἐξεπλήσθη* mss. *ἐξέπλησ'* Elmsl. Cf. Tr. 253. *ἐνιαυτὸν ἐξέπλησεν*. Subaudiendum *αὐτούς*. Sed cf. ad 759. *ἰὼ ἰὼ*] Qu. *φεῦ ἰὼ* —.

761. *δύστηνε δῆτα*] Qu. *δύστηνε δὴ σύ*. Venit fortasse *δῆτα* a vicino v. 763. *πόνων* mss. Qu. *βροτῶν*. Cf. Herod. I. 25. *θέης ἄξιον διὰ πάντων τῶν ἀναθημάτων*.

762. *δῆτα* (om. pr. m. L.) mss. Qu. *δὴ σύ*.

764. *ἕως ἀνῇ*] Cf. Aj. 555. *ἕως — μάθῃς*. Tr. 148.

767. *ἐξίῃ* mss. *ἐξανῇ* Schneid. Recte. Cf. 704. *ἀνίκ' ἐξανείη δακέθυμος ἄτα*. 764. *ἕως ἀνῇ* | *τὸ πῆμα τοῦτο*.

769. Lege *εὕδειν* (*μ'*).

771. *ἑκόντα μήτ' ἄκοντα* mss. Lege *ἑκόντα μηδ' ἄκοντα*. Cf. ad Aj. 1232. Aesch. Cho. 291. *δέχεσθαι δ' οὔτε* (l. *οὐδὲ*) *συλλύειν τινά*. Arist. Av. 694. *γῆ δ' οὐδ' ἀὴρ οὐδ' οὐρανὸς ἦν*.

774. *οὐ δοθήσεται* | *πλὴν σοί τε κἀμοί*] Cf. 668. *καὶ δόντι δοῦναι* (*αὐτά*).

μή σοι γενέσθαι πολύπον' αὐτὰ μηδ' ὁποῖ'
ἐμοί τε καὶ τῷ πρόσθ' ἐμοῦ κεκτημένῳ.
NE. ὦ θεοί, γένοιτο ταῦτα νῷν, γένοιτο δὲ
πλοῦς οὔριός τε κεὐσταλὴς ὅποι ποτὲ
θεὸς δικαιοῖ χὠ στόλος πορσύνεται.
ΦΙ. ἀλλὰ δέδοικ', ὦ παῖ, ταῦτ' ἀτελῆ μὴ εὔχῃ·
στάζει γὰρ αὖ μοι φοίνιον τόδ' ἐκ βυθοῦ
κηκῖον αἷμα, καί τι προσδοκῶ νέον.
παπαῖ φεῦ,
παπαῖ μάλ'. ὦ πούς, οἷά μ' ἐργάσει κακά.
προσέρπει,
προσέρχεται τόδ' ἐγγύς. οἴμοι μοι τάλας.
ἔχετε τὸ πρᾶγμα· μὴ φύγητε μηδαμῇ.
ἀτταταῖ.
ὦ ξένε Κεφαλλήν, εἴθε σοῦ διαμπερὲς
στέρνων ἵκοιτ' ἄλγησις ἥδε. φεῦ παπαῖ.
παπαῖ μάλ' αὖθις. ὦ διπλοῖ στρατηλάται,
Ἀγάμεμνον, ὦ Μενέλαε, πῶς ἂν ἀντ' ἐμοῦ
τὸν ἴσον χρόνον τρέφοιτε τήνδε τὴν νόσον;
ὤμοι μοι.
ὦ θάνατε θάνατε, πῶς ἀεὶ καλούμενος
οὕτω κατ' ἦμαρ οὐ δύνᾳ μολεῖν ποτε;
ὦ τέκνον, ὦ γενναῖον, ἀλλὰ συλλαβὼν

777. *ὅπως* (gl. *ὁμοίως* sup. a m. ant.) mss. Qu. *ὁποῖ'* aut *οἷα*. Cf. ad 645.

782. *ἀλλὰ δέδοικ', ὦ παῖ, μή μ' ἀτελὴς εὐχή* mss. "Graviter laborat" (Nauck.). *ὦ παῖ, δέδοικα μὴ ἀτελὴς εὐχὴ τύχῃ* Schneid. *δέδοικα δ', ὦ παῖ, μὴ ἀτελὴς εὐχὴ πέλῃ* Wunder. Pro *μή μ'* qu. *μή 'στ'*, si post *δέδοικα* ferri potest indicativus, quod valde dubito. Qu. *ὦ παῖ, δέδοικα μὴ ἀτελὴς εὐχὴ* (aut *ηὐχὴ*) *πέλῃ*. Fortasse enim senarius hic versus fuit, non dochmiacus. Cf. Ant. 1113. *δέδοικα γὰρ μὴ τοὺς καθεστῶτας νόμους | ἄριστον ᾖ σώζοντα τὸν βίον τελεῖν*. Malim — *κυρῇ*. Poetae manum, ni fallor, restitui corrigendo in hunc modum, *ἀλλὰ δέδοικ' ὦ παῖ, ταῦτ' ἀτελῆ μὴ εὔχῃ*.

790. *ἀτταταῖ*] *παπαῖ, φεῦ* Dind. Qu. *παπαῖ φεῦ*, ut in 785.

792. *ἔχοιτ'* mss. Lege *ἵκοιτ'*.

796. *ὤμοι μοι* mss. *ἰώ μοι* Nauck.

798. *δύνῃ* mss. *δύνᾳ* Porson.

τῷ Λημνίῳ τῷδ' ἀνακυκλουμένῳ πυρὶ (μ')
ἔμπρησον, ὦ γενναῖε· κἀγώ τοι ποτὲ
τὸν τοῦ Διὸς παῖδ' ἀντὶ τῶνδε τῶν ὅπλων,
ἃ νῦν σὺ σῴζεις, τοῦτ' ἐπηξίωσα δρᾶν.
τί φῄς, παῖ;
τί φῄς; τί σιγᾷς; ποῦ ποτ' ὤν, τέκνον, κυρεῖς;
ΝΕ. ἀλγῶ πάλαι δὴ τἀπὶ σοὶ στένων κακά.
ΦΙ. ἀλλ', ὦ τέκνον, καὶ θάρσος ἴσχ', ὡς ἥδε μοι
ὀξεῖα φοιτᾷ καὶ ταχεῖ' ἀπέρχεται.
ἀλλ', ἀντιάζω, μή με καταλίπῃς μόνον.
ΝΕ. θάρσει, μενοῦμεν. ΦΙ. ἦ μενεῖς; ΝΕ. σαφῶς φρόνει.
ΦΙ. οὐ μήν σ' ἔνορκόν γ' ἀξιῶ θέσθαι, τέκνον.
ΝΕ. ὡς οὐχὶ θέμις ἐμοὔστι σοῦ μολεῖν ἄτερ.
ΦΙ. ἔμβαλλε χειρὸς πίστιν. ΝΕ. ἐμβάλλω μενεῖν.
ΦΙ. ἐκεῖσε νῦν μ', ἐκεῖσε. ΝΕ. ποῖ λέγεις; ΦΙ. ἄνω
ΝΕ. τί παραφρονεῖς αὖ; τί τὸν ἄνω λεύσσεις κύκλον;
ΦΙ. μέθες μέθες με. ΝΕ. ποῖ μεθῶ; ΦΙ. μέθες ποτέ.
ΝΕ. οὔ φημ' ἐάσειν σ'. ΦΙ. ἀπό μ' ὀλεῖς, ἢν προσθίγῃς.

800. *ἀνακαλουμένῳ* mss. I. e. invocato. Cf. Eur. Med. 21. *ἀνακαλεῖ δὲ δεξιᾶς | πίστιν μεγίστην*. Ph. 613. *μολὼν ἐς Ἄργος ἀνακάλει Λέρνης ὕδωρ*. Correxi *ἀνακυκλουμένῳ*, quod conjecit Toup. probat Dind., quem adi in ed. Oxon.

801. *πυρί* (*μ'*) | *ἔμπρησον* Schenkl. Recte, opinor, desideratur enim pronomen. Nec placet *τόνδ'* (i. e. me) pro *τῷδ'*. Qu. *ἔμπρηθέ μ'* —. 806. *τἀπὶ σοὶ* mss. Qu. *ταὐτά σου*.

807. *καὶ* mss. *μοι* (?) Nauck. Redde even. Qu. *θάρσος τι ἴσχ'*. *ὡς ἥδε μοι* mss. Qu. *ὡς ἥδ' ἀεὶ* —.

809. Scribe sic, *ἀλλ', ἀντιάζω, μή* —. Cf. O. R. 192. El. 1009.

810. *σαφῶς φρόνει*] Sub. *με μενοῦντα*. Cf. Tr. 289. *φρόνει νιν ὡς ἥξοντα*.

811. *οὐ μὴν* —] Anglice but yet I do not wish to put you on your oath., ut vertit Pal. *ἔνορκον* mss. Lege *ἔνορκόν γ'*. Cf. O. R. 810. *οὐ μὴν ἴσην γ' ἔτισεν*.

812. *ὡς*] Anglice know (be assured) that. *θέμις γ'* mss. *θέμιστ'* frustra Wunder. Qu. *θεμιτὸν* aut *οὐχὶ θέμις*. *ἐμοί 'στι* mss. *ἐμοὔστι* Herm.

813. Cf. O. C. 1632. *δός μοι χερὸς σῆς πίστιν* —.

817. Lege *οὔ φημ' ἐάσειν* (*σ'*).

ΝΕ. καὶ δὴ μεθίημ' εἴ τί δὴ πλέον φέρει.
ΦΙ. ὦ γαῖα, δέξαι θανάσιμόν μ' ὅπως ἔχω·
τὸ γὰρ κακὸν τόδ' οὐκέτ' ὀρθοῦσθαί μ' ἐᾷ.
ΝΕ. τὸν ἄνδρ' ἔοικεν ὕπνος οὐ μακροῦ χρόνου
ἕξειν· κάρα γὰρ ὑπτιάζεται τόδε,
ἱδρὼς δέ τοί νιν πᾶν καταστάζει δέμας,
μέλαινα δ' ἄκρου τις παρέρρωγεν ποδὸς
αἱμορραγὴς φλέψ. ἀλλ' ἐάσωμεν, φίλοι,
ἕκηλον αὐτὸν, ὡς ἂν εἰς ὕπνον πέσῃ.

Στροφή.

ΧΟ. Ὕπν' ὀδύνας ἀδαὴς, Ὕπνε δ' ἀλγέων,
εὐαὴς ἡμῖν ἔλθοις,
εὐαίων εὐαίων, ὦναξ·

818. μεθίημι τι mss. μεθίημ', εἴ τι Herm.

823. ἱδρώς γέ τοί νιν πᾶν καταστάζει δέμας mss. ἱδρὼς δέ τοί νιν Buttm. Linwood. Qu. ἱδρῶτί δ' (aut τ') αὐτοῦ πᾶν καταστάζει δέμας. Cf. 7. νόσῳ καταστάζοντα διαβόρῳ πόδα. Aj. 10. κάρα | στάζων ἱδρῶτι καὶ χέρας ξιφοκτόνους. Eur. Hec. 240. ὀμμάτων τ' ἄπο | φόνου σταλαγμοὶ σὴν κατέσταζον γένυν. Suppl. 587. φάλαρα — ἀφρῷ καταστάζοντα. Fr. 344, 3 N. νώτου καταστάζοντα βύσσινον φάρος.

824. μέλαινά τ' mss. Lege μέλαινα δ'. παρέρρωγεν] Fort. κατέρρωγεν. Cf. Eur. Alc. 1067. ἐκ δ' ὀμμάτων | πηγαὶ κατερρώγασιν.

827. ὀδύνας] Qu. ὀδυνᾶν, plur. ut ἀλγέων. Hoc ad corporis, ut ἀλγέων ad mentis dolores, spectat.

828. εὐαὴς mss. εὐαὲς olim Herm. De hac vocativi constructione conferunt Aesch. Pers. 666. δέσποτα δεσποτᾶν φάνηθι. Suppl. 535. γενοῦ πολυμνῆστορ ἔφαπτορ Ἰοῦς. et Theocriti illud ὄλβιε κῶρε γένοιο. Scholiasta per εὔπνοος explicat, Hesychius εὐαὴς per εὐήνεμος. Mendosum videtur εὐαὲς, pro quo reponendum, ni fallor, epithetum aliquod in -ος desinens, quale est εὔπνοος (δύσπνοος legitur Ant. 588.), aut οὔριος, cujus glossema fuerit εὐαής. Cf. Hesiod. Op. 597. χώρῳ ἐν εὐαεῖ (ᾱ). Herod. II. 117. Eur. Hel. 1520. εὐαεῖς ἀνέμων πνοάς. Contrarium est δυσαής, ut in Hom. Il. 23, 200. Ζεφύροιο δυσαέος (ᾱ). Penultima longa est in Homerico ἀκραής.

829. εὐαίων, ὦναξ mss. εὐαίων ἄναξ Bl., coll. Eur. Ion. 126. εὐαίων εὐαίων εἴης, ὦ Λατοῦς παῖ. Iph. A. 550. εὐαίωνι πότμῳ. Bacch. 426. εὐαίωνα ζῆν. Suppl. 960. δυσαίων ὁ βίος. Hel. 214. αἰὼν δυσαίων. Qu. εὐαίων τ'.

ὀμμάτων δ' ἀντέχοις
τάνδ' αἴγλαν ἃ τέταται τανῦν.
ἴθ' ὦ ἴθι μοι παιών.
ὦ τέκνον, ὅρα ποῦ στάσει,
ποῖ δὲ βάσει, πῶς δέ σοι τἀντεῦθεν
φροντίδος. ὁρᾶν δὴ δεῖ.
πρὸς τί μενοῦμεν πράσσειν;
καιρός τοι πάντων γνώμαν ἴσχων
πολὺ παρὰ πόδα κράτος [ἀνδράσιν] ἄρνυται.

830. *ὄμμασι δ' ἀντέχοις* mss. *ὄμμασι δ' ἀντίσχοις* Br. Exspectes *ὀμμάτων*. Cf. O. C. 1650. *ὀμμάτων ἐπίσκιον | χεῖρ' ἀντέχοντα κρατός*. Itaque corrigendum olim putabam *ἄντεχε* (*ἀντέχοις* mss.) *δ' ὀμμάτων*. Dativus aegre defendi potest. Nunc mihi corrigendum potius videtur *ὀμμάτων δ' ἀντέχοις*, et in v. ant. 846. *πέμπε φάμαν λόγων*.

831. *αἴγλαν* mss. *ἀχλὺν* (caliginem) Reisk. Wakefield. Sensus *ἀχλὺν* potius requirit. Hom. Od. 16, 344. Quae vox de caligine dormientis aut morientis oculis offusa apte ponitur. Posterior syllaba producitur apud Homerum et Hesiodum. Cf. Eur. Tro. 549. *μέλαιναν αἴγλαν*. *τέταται* mss. Qu. *κέχυται*, sed cf. Ant. 600. *ἐσχάτας ὑπὲρ ῥίζας ὃ τέτατο φάος* (l. *θάλος*) *ἐν Οἰδίπου δόμοις*. *τὰ νῦν* (sic) L.

832. *ἴθι ἴθι μοι παιών* mss. *ἴθ' ὦ ἴθι μοι παιών* Bl. *ἴθ' ἴθι μοι παιήων* Dind. Qu. *δεῦρ' ἴθι νῦν* —. Cf. v. ant. 848.

834. *ποῦ στάσει, ποῖ δὲ βάσει*] *ποῖ δὲ τἀνθένδε βάσει φροντίδος* Weckl. Cf. Aj. 1237. *ποῖ βάντος ἢ ποῦ στάντος οὗπερ οὐκ ἐγώ;* Eur. Hec. 1079. *πᾶ στῶ; πᾶ* (*ποῖ?*) *βῶ;* *ποῖ δὲ βάσει*] Haec verba, quae non agnoscit scholiasta, fortasse interpolata sunt. Nihil deesse videtur in v. ant. 850. *μοι*] Qu. *σοι*.

835. *ὁρᾷς ἤδη* —] Qu. *ὁρᾶν δὴ δεῖ*.

836. *πρὸς τί μένομεν πράσσειν;*] Cf. Aesch. Eum. 677. *μένω δ' ἀκοῦσαι* *πρὸς τί*] Quamobrem, quare. *μένομεν* mss. Erf. Qu. *μενοῦμεν*.

837. *καιρός τοι* —] Cf. El. 75. *καιρὸς γάρ, ὅσπερ ἀνδράσιν μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης*. Pind. P. 9, 135. *ὁ δὲ καιρὸς ὁμοίως παντὸς ἔχει κορυφάν*. *πάντων*] 'In omnibus rebus'. Schol. *ἐπὶ πάντων*. *γνώμαν*] 'Good judgment'. *γνώμαν ἴσχων*] In eadem sede legitur *γνώμαν ἴσχεις* in v. ant. 853. *γνῶμ' ἴσχων* Bergk.

838. *πολὺ* mss. *πολύ τι πολὺ* Herm. *πολὺ — κράτος ἄρνυται*] Anglice 'gets great advantage'. *παρὰ πόδα*] Statim. *ἀνδράσιν ἄρνυται* Herm. Bl.

Μεσῳδός.

ΝΕ. ἀλλ' ὅδε μὲν κλύει οὐδὲν, ἐγὼ δ' ὁρῶ οὕνεκα θήραν
τήνδ' ἁλίως ἔχομεν τόξων, δίχα τοῦδε πλέοντες.
τοῦδε γὰρ ὁ στέφανος, τοῦτον θεὸς εἶπε κομίζειν.
κομπεῖν δ' ἔργ' ἀτελῆ σὺν ψεύδεσιν αἰσχρὸν ὄνειδος.

Ἀντιστροφή.

ΧΟ. ἀλλά, τέκνον, τάδε μὲν θεὸς ὄψεται·
ὧν δ' ἂν ἀμείβῃ μ' αὖθις
βαιάν μοι, βαιὰν, ὦ τέκνον,
πέμπε φάμαν λόγων·
ὡς πάντων ἐν νόσῳ εὐδρακὴς
ὕπνος ἄϋπνος λεύσσειν.
ἀλλ' ὅ τι δύνᾳ μάκιστον
κεῖνό μοι, κεῖνο λάθρα
† ἐξιδοῦ ὅ τι πράξεις.
οἶσθα γὰρ ὧν αὐδῶμαι,
εἰ τὰν αὐτὰν νῦν τούτῳ γνώμαν ἴσχεις,

842. ἔστ' ἀτελῆ mss. ἔργ' ἀτελῆ Bl.

845. βαιάν μοι, βαιὰν, ὦ τέκνον] βαιάν μοι, τέκνον, conj. Nauck.

846. πέμπε λόγων φήμαν mss. Correxi πέμπε φάμαν λόγων. Cf. ad v. str. 830. φήμαν mss. φάμαν Turn. φάτιν malit Nauck.

847. πάντων ἐν νόσῳ mss. πᾶν (λεύσσειν) τῶν ἐν νόσῳ Bl. Recte. εὐδρακὴς — λεύσσειν] Cf. Aesch. Pers. 387. εὐφεγγὴς ἰδεῖν.

849. μάκιστον] Suspectum.

850. κεῖνο λάθρα, κεῖνό μοι Herm. Linw.

851. ἐξίδου (sic) L. Suspectum. Tentabam ἐξίχνευ'. ἐξιχνοσκοπεῖν legitur Tr. 271. Aj. 997. Sed obstat metrum (cf. v. 835.). ὅτι (gl. ὅπως) L. ὅτι cet. ὅπᾳ Schneid. Scribe ὅ τι, ut in 849.

852. οἶσθ' οἶσθ' ὅντιν' αὐδῶμαι Tricl. ὧν] ὧν (ον sup. ab S. pr. m.) L. Bl. Linw. Schn. ὃν schol. Qu. οἵ' (aut οὓς) —. Ita hic versus quadrabit cum v. str. 836. ὃν αὐδῶμαι] Ulyssem dicit secundum schol. Is enim Philoctetam ad Trojam se reportaturum esse pollicitus erat. V. 593 sq.

853. εἰ ταὐτὸν τούτῳ γνῶμ' ἴσχεις Bergk. Qu. εἰ τὰν αὐτὰν τούτῳ γνώμαν ἴσχεις. ταὐτὰν L. ταύταν Γ. ταυτὰν cet. ταὐτὸν Wund. τούτῳ L. Qu. τούτων. γνώμαν ἴσχεις] γνώμαν ἴσχων in eadem versus sede legitur in v. str. 837.

μάλα τοι ἄπορα πυκίν' ἔστ' ἐνιδεῖν πάθη.

Ἐπῳδός.

οὖρός τοι, τέκνον, οὖρος·
ἀνὴρ δ' ἀνόμματος οὐδ' ἔχων ἄρωγαν
ἐκτέταται νύχιος, ...
(ἀδεὴς ὕπνος ἐσθλὸς, ...)
οὐ χερὸς, οὐ ποδὸς, οὔ τινος ἄρχων,
ἀλλ' ὡσεί τ' Ἀΐδᾳ παρακείμενος.
ὅρα, βλέπει. καίρια φθέγγου.
τόδ' ἀλώσιμον ἐμᾷ φροντίδι, παῖ·
πόνος ὁ μὴ φοβῶν κράτιστος.
ΝΕ. *σιγᾶν κελεύω μηδ' ἀφεστάναι φρενῶν.*

854. *πυκινοῖσιν ἐνιδεῖν* mss. *πυκινοῖς* — Turn. Schol. *καὶ τοῖς συνετοῖς.* Qu. *πυκινοῖσιν ἰδεῖν.* *ἐνιδεῖν πάθη* mss. *ἰδεῖν* Hart. Muff. *πάθη*] Schol. *τὸ πρακτέον.* Qu. *ἃ δεῖ.*

855. *οὖρός τοι,* —] 'Ventus secundus nunc est', i. e. omnia nobis favent.

856. Qu. *ἀνὴρ* [*δ*].

858. *ἐκτέταται*] Cf. Xen. Conv. 4, 31. *ἡδέως μὲν εὕδω ἐκτεταμένος.*

859. *ἀδεὴς ὕπνος ἐσθλὸς*] Sensus hic videtur esse, sound sleep knows no fear. Verba parenthetice posita. *ἀδεὴς πόνος ἔσθ', ὡς οὐ* | — conj Pal., coll. 864. *πόνος ὁ μὴ φοβῶν κράτιστος.* *ἀλεὴς* mss. *ἀδεὴς* Reisk. Dobr. Suspectum Nauckio. Praestat fortasse *ἀδαὴς* (non conscius) aut *ἀδαὴς δ'.* *ἐσθλὸς*] Anglice sound or is favourable (coll. 864.).

860. *οὔ τινος* mss. *οὐ φρενὸς* Todt.

861. *ἀλλ' ὥς τις* (*ὅστις* sup. *ω* L.) mss. *ἀλλά τις ὡς* Wund. *ὥς τίς τ'*(?) Dind. Qu. *ὡσεί τ'.* *ὥς τις* — *ὁρᾷ*] 'Has no more power of sight than the dead' explicat Pal. Recte, opinor.

862. *ὁρᾷ. βλέπει καίρια φθέγγει* mss. *ὁρᾷς; βλέπει. καίρια φθέγγου* Bl. Qu. *ὅρα, βλέπει. καίρια φθέγγου.* *βλέπει* mss. *βλέπ' εἰ* Herm. Pal. *φθέγγει* mss. Qu. *φθέγγου.* Cf. 845 sq.

863. *τὸ δ' ἀλώσιμον ἐμᾷ φροντίδι*] Anglice, but what can be grasped by (is clear to) my mind. *τὸ δ'*] *τόδ'* L. pr. Recte. *ἐμᾷ* mss. *ἀμᾷ* Dind.

865. *ἀφεστάναι φρενῶν*] Usitatior locutio est *ἐκστῆναι φρενῶν.*

κινεῖ γὰρ ἀνὴρ ὄμμα κἀνάγει κάρα.
ΦΙ. *ὦ φέγγος ὕπνου διάδοχον, τό τ' ἐλπίδων*
παρεκτὸς ἐπικούρημα τῶνδε τῶν ξένων.
οὐ γάρ ποτ', ὦ παῖ, τοῦτ' ἂν ἐξηύχησ' ἐγώ,
τλῆναί σ' ἐλεινῶς ὧδε τἀμὰ πήματα
μεῖναι παρόντα καὶ ξυνωφελοῦντά μοι.
οὔ τἂν Ἀτρεῖδαι τοῦτ' ἔτλησαν εὐχερῶς
οὕτως ἐνεγκεῖν, ἀγαθοὶ στρατηλάται.
ἀλλ' εὐγενὴς γὰρ ἡ φύσις κἀξ εὐγενῶν,
ὦ τέκνον, ἡ σή, πάντα ταῦτ' ἐν εὐχερεῖ
ἔθου, βοῆς τε καὶ δυσοσμίας γέμων.
καὶ νῦν, ἐπειδὴ τοῦδε τοῦ κακοῦ δοκεῖ
λήθη τις εἶναι κἀνάπαυλ' ἤδη, τέκνον,
σύ μ' αὐτὸς ἆρον, σύ με κατάστησον, τέκνον,
ἵν', ἡνίκ' ἂν κόπος μ' ἀπαλλάξῃ ποτέ,
ὁρμώμεθ' ἐς ναῦν μηδ' ἐπίσχωμεν τὸ πλεῖν.
ΝΕ. *ἀλλ' ἥδομαι μέν σ' εἰσιδὼν παρ' ἐλπίδα*
ἀνώδυνον βλέποντα κἀμπνέοντ' ἔτι·
ὡς οὐκέτ' ὄντος γὰρ τὰ σύμβολ' ἀμφί σοι

866. *κἀνάγει*] I. e. *αἴρει.* Fort. *κἀναίρει.*

867. *ἐλπίδων ἄπιστον*] Suspectum Nauckio.

868. *ἄπιστον*] Qu. *παρεκτός.* *οἰκούρημα* mss. Per *φυλακή, παροικία* explicat schol. Qu. *ἐπικούρημα.* Nomen *ἐπίκουρος* (opitulator) legitur O. R. 496. O. C. 1220.

872. *οὔκουν* mss. Lege *οὔ τἄν.* *εὐπόρως* (*εὐπόνως* Lb.) mss. *εὐφόρως* Br. Dind. *εὐλόφως* Eldik. *εὐπετῶς* Dind. in Lex., coll. Fr. 526, 2. *χρεὼν | τὰ θεῖα θνητοὺς ὄντας εὐπετῶς φέρειν.* Qu. *εὐχερῶς* (875.) aut *εὐκόλως.* 873. *ἀγαθοὶ*] *ἀγαθοὶ* mss.

875. *ἐν εὐχερεῖ ἔθου*] I. e. *εὐχερῶς* (*ῥᾳδίως*) *ἤνεγκας.*

878. *λήθη τις* mss. *λώφησις* F. G. Schmidt. Recte. *κἀνάπαυλα δή, τέκνον* mss. *κἀνάπαυσις, ὦ τέκνον* conj. Nauck. Lege *κἀνάπαυλ' ἤδη, τέκνον.* Qu. *κἀνάπαυλ', ἄγ', ὦ τέκνον.*

879. Ante 890 collocandum esse putat Zippmann. *αὐτὸς* mss. Qu. *αὖθις.* *σύ με* mss. Qu. *σὺ δὲ —.* *κατάστησον*] Angl. set me on my legs. Cf. 893. *ἴστω.* 880. *κόπος* mss. Qu. *πόνος.*

884. *τὰ συμβόλαιά σου* (sic L. *σοι* al.) mss. Qu. *τὰ σύμβολ' ἀμφί σοι,* aut *τὰ πάντα σύμβολα.* *συμβόλαια*] Signs, indications. I. q. *σύμβολα* (403.). Alibi *συμβόλαια* significat dealings, ut in Eur. Ion. 411. *ἅ τε νῷν συμβόλαια πρόσθεν ἦν | ἐς παῖδα τὸν σὸν μεταπέσοι βελτίονα.*

πρὸς τὰς παρούσας ξυμφορὰς ἐφαίνετο.
νῦν δ' αἶρε σαυτόν· εἰ δέ σοι μᾶλλον φίλον,
οἴσουσί σ' οἵδε· τοῦ πόνου γὰρ οὐκ ὄκνος,
ἐπείπερ οὕτω σοί τ' ἔδοξ' ἐμοί τε δρᾶν.
ΦΙ. αἰνῶ τάδ', ὦ παῖ, καί μ' ἔπαιρ', ὥσπερ νοεῖς·
τούτους δ' ἔασον, μὴ βαρυνθῶσιν κακῇ
ὀσμῇ πρὸ τοῦ δέοντος· οὐπὶ νηῒ γὰρ
ἅλις πόνος τούτοισι συνναίειν ἐμοί.
ΝΕ. ἔσται τάδ'· ἀλλ' ἵστω τε καὐτὸς ἀντέχου.
ΦΙ. θάρσει· τό τοι σύνηθες ὀρθώσει μ' ἔθος.
ΝΕ. παπαῖ· τί δῆτ' ἂν δρῷμ' ἐγὼ τοὐνθένδ' ἔτι;
ΦΙ. τί δ' ἐστίν, ὦ παῖ; ποῖ ποτ' ἐξέβης λόγων;
ΝΕ. οὐκ οἶδ' ὅποι χρὴ τἄπορον τρέπειν ἔπος.
ΦΙ. ἀπορεῖς δὲ τοῦ σύ; μὴ λέγ', ὦ τέκνον, τάδε.
ΝΕ. ἀλλ' ἐνθάδ' ἤδη τοῦδε που πάθους κυρῶ.
ΦΙ. οὐ δή σε δυσχέρεια τοῦ νοσήματος
ἔπεισεν ὥστε μή μ' ἄγειν τὴν ναῦν ἔπι;
ΝΕ. ἅπαντα δυσχερῆ 'στι, τὴν αὑτοῦ φύσιν

885. *πρὸς τὰς παρούσας ξυμφορὰς*] Anglice 'in view of your present troubles'.

889. *αἰνῶ τάδ', ὦ παῖ, καί μ' ἔπαιρ' ὥσπερ νοεῖς* mss. Spurium hunc versum habet Zippmann. et huc revocat verba in libris versui 878. subjecta, *σύ μ' αὐτὸς ἆρον, σύ με κατάστησον, τέκνον.*

893. *καὐτὸς ἀντέχου*] Scilicet *ἐμοῦ*. Qu. *κἀμοῦ γ' ἀντέχου*. Cf. Fr. 325, 2. *τοῦ κέρδους ἀντέχεσθαι.*

895. *δῆτα* mss. *δῆτ' ἂν* Schaefer. *τοὐνθένδε γε* (*λέγε* L.) mss. Lege *τοὐνθένδ' ἔτι* (aut — *δε σοι*), aut — *ἐγὼ 'ντεῦθεν; λέγε.*

896. *λόγῳ* mss. *λόγων* al. Recte, opinor. Cf. El. 1174. *ποῖ λόγων ἀμηχανῶν | ἔλθω;*

897. *ἔπος*] Anglice matter, ut alibi non raro. Redde, 'Nescio quorsum rem difficilem (aut 'dictu difficilem') vertam'. Consilium suum dolosum de Philoctete ad Trojam, non ad Scyrum, abducendo dicit.

898. *μὴ λέγ' — τάδε*] Anglice, 'Dont speak like that'.

899. *ἀλλ' ἐνθάδ' ἤδη* —] Sensus est, but the matter has now come to this point (this difficulty). *πάθους*] I. e. *τῆς ἀπορίας*, ut explicat schol.

900. *τοῦ* mss. *που* Bl., coll. O. R. 1472. *οὐ δὴ κλύω που —;* Ant. 381. *οὐ δή που σέ γ' ἀπιστοῦσαν —;*

901. *ναύτην ἔτι* mss. Correxi *τὴν ναῦν ἔπι.*

902. *δυσχέρεια* mss. Sensus requirit *δυσχερῆ 'στι.* *αὐτοῦ* (sic) L.

ὅταν λιπών τις δρᾷ τὰ μὴ προσεικότα.
ΦΙ. ἀλλ' οὐδὲν ἔξω τοῦ φυτεύσαντος σύ γε
δρᾷς οὐδὲ φωνεῖς ἐσθλὸν ἄνδρ' ἐπωφελῶν.
ΝΕ. αἰσχρὸς φανοῦμαι· τοῦτ' ἀνιῶμαι πάλαι.
ΦΙ. οὔκουν ἐν οἷς γε δρᾷς· ἐν οἷς δ' αὐδᾷς ὀκνῶ.
ΝΕ. ὦ Ζεῦ, τί δράσω; δεύτερον ληφθῶ κακὸς,
κρύπτων θ' ἃ μὴ δεῖ καὶ λέγων αἴσχιστ' ἐπῶν;
ΦΙ. ἀνὴρ ὅδ', εἰ μὴ 'γὼ κακὸς γνώμην ἔφυν,
προδούς μ' ἔοικε κἀκλιπὼν τὸν πλοῦν στελεῖν.
ΝΕ. λιπὼν μὲν οὐκ ἔγωγε, λυπηρῶς δὲ μὴ
πέμπω σε μᾶλλον τοῦτ' ἀνιῶμαι πάλαι.
ΦΙ. τί ποτε λέγεις, ὦ τέκνον; ὡς οὐ μανθάνω.
ΝΕ. οὐδέν σε κρύψω· δεῖ γὰρ ἐς Τροίαν σε πλεῖν
πρὸς τοὺς Ἀχαιοὺς καὶ τὸν Ἀτρειδῶν στόλον.
ΦΙ. οἴμοι, τί εἶπας; ΝΕ. μὴ στέναζε, πρὶν μάθῃς.
ΦΙ. ποῖον μάθημα; τί με νοεῖς δρᾶσαί ποτε;
ΝΕ. σῶσαι κακοῦ μὲν πρῶτα τοῦδ', ἔπειτα δὲ
ξὺν σοὶ τὰ Τροίας πεδία πορθῆσαι μολών.
ΦΙ. καὶ ταῦτ' ἀληθῆ δρᾶν νοεῖς; ΝΕ. πολλὴ κρατεῖ
τούτων ἀνάγκη· καὶ σὺ μὴ θυμοῦ κλύων.
ΦΙ. ἀπόλωλα τλήμων, προδέδομαι. τί μ', ὦ ξένε,
δέδρακας; ἀπόδος ὡς τάχος τὰ τόξα μοι.
ΝΕ. ἀλλ' οὐχ οἷόν τε· τῶν γὰρ ἐν τέλει κλύειν
τό τ' ἔνδικόν με καὶ τὸ συμφέρον ποιεῖ.
ΦΙ. ὦ πῦρ σὺ καὶ πᾶν δεῖμα καὶ πανουργίας
δεινῆς τέχνημ' ἔχθιστον, οἷά μ' εἰργάσω,
οἷ' ἠπάτηκας· οὐδ' ἐπαισχύνει μ' ὁρῶν
τὸν προστρόπαιον, τὸν ἱκέτην, ὦ σχέτλιε;
απεστέρηκας τὸν βίον τὰ τόξ' ἑλών.

904. τοῦ φυτεύσαντος mss. τοῦ προσεικότος Mollweide.
907. ἐν οἷς δ' mss. ἐφ' οἷς δ' sine causa Nauck.
910. ἀνὴρ L. 916. Versu Wundero suspectus.
926. ποεῖν L.
927. δεῖμα mss. λῦμα conj. Nauck. Suspectum δεῖμα.
928. εἰργάσω] Nonne εἴργασαι?
931. ἀπεστέρηκας τὸν βίον] Cf. 1283. ὅστις γέ μου — τὸν βίον | ἀπεστέρηκας.

ἀπόδος, ἱκνοῦμαί σ', ἀπόδος, ἱκετεύω, τέκνον.
πρὸς θεῶν πατρῴων, τὸν βίον με μὴ ἀφέλῃ.
ὤμοι τάλας· ἀλλ' οὐδὲ προσφωνεῖ μ' ἔτι,
ἀλλ' ὡς μεθήξων μήποθ' ὧδ' ὁρᾷ πάλιν.
ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνουσίαι
θηρῶν ὀρείων, ὦ καταρρῶγες πέτραι,
ὑμῖν τάδ', οὐ γὰρ ἄλλον οἶδ' ὅτῳ λέγω,
ἀνακλαίομαι παροῦσι τοῖς εἰωθόσιν
οἷ' ἔργ' ὁ παῖς μ' ἔδρασεν οὐξ Ἀχιλλέως.
ὀμόσας ἀπάξειν οἴκαδ' ἐς Τροίαν μ' ἄγει,
προσθείς τε χεῖρα δεξιὰν τὰ τόξα μου
ἱερὰ λαβὼν τοῦ Ζηνὸς Ἡρακλέους ἔχει,
καὶ τοῖσιν Ἀργείοισι φήνασθαι θέλει
ὡς ἄνδρ' ἑλὼν ἰσχυρὸν ἐκ βίας μ' ἄγει,
κοὐκ οἶδ' ἐναίρων νεκρὸν ἢ καπνοῦ σκιάν,
εἴδωλον ἄλλως· οὐ γὰρ ἂν σθένοντά γε
εἷλέν μ'· ἐπεὶ οὐδ' ἂν ὧδ' ἔχοντ', εἰ μὴ δόλῳ.
νῦν δ' ἠπάτημαι δύσμορος. τί χρή με δρᾶν;
ἀλλ' ἀπόδος, ἀλλὰ νῦν ἔτ' ἐν σαυτῷ γενοῦ.
τί φής; σιωπᾷς; οὐδέν εἰμ' ὁ δύσμορος.
ὦ σχῆμα πέτρας δίπυλον, αὖθις αὖ πάλιν

933. *μή μ' ἀφέλῃς* L. *μή μου 'φέλῃς* al. Dind. *με μὴ ἀφέλῃ* Bl. Schneid. Elmsl. ad O. R. 1522. Cf. ad Eur. Med. 56. Ph. 1302. *τί μ' ἄνδρα πολέμιον | ἐχθρόν τ' ἀφείλου μὴ κτανεῖν;* 376. *εἰ τἀμὰ κεῖνος ὅπλ' ἀφαιρήσοιτό με.* Arist. Eccl. 563.

934. *ἀλλ' οὐδὲ*] *ὡς οὐδὲ* conj. Nauck.

935. *μεθήσων* mss. Lege *μεθήξων*.

936. *προβλῆτες*] Apud Homerum *πέτρην προβλῆτα*.

939. Aut spurium aut corruptum esse arbitratur Nauck. *ἀνακλαίομαι* mss. *ἀνακλάομαι* Dind. *τοῖς εἰωθόσιν* mss. Qu. *τοῖσι μάρτυσι*.

942. *προσθείς* duo mss. *προθείς* L. et cet. Cf. Xen. Mem. II. 6. 32. *ὡς οὐ προσοίσοντος* (*ἐμοῦ*) *τὰς χεῖρας*.

945. *ὡς*] Quomodo. Angl. how. *ἐκ βίας* [*μ'*] *ἄγει* Nauck.

950. *ἀλλ'* addidit Turn. Qu. *τάδ'*. *σαυτῷ* L. et al. *σαυτοῦ* A.

951. Malim *σιωπᾷς;* (sic).

952. *δίπυλον* mss. Lege *δίθυρον*. Cf. 159. *οἶκον — τόνδ' ἀμφίθυρον*. Non raro permutantur *θύρα* et *πύλη* cum compositis.

εἴσειμι πρὸς σὲ ψιλὸς, οὐκ ἔχων τροφήν·
ἀλλ' αὑανοῦμαι τῷδ' ἐν αὐλίῳ μόνος,
οὐ πτηνὸν ὄρνιν οὐδὲ θῆρ' ὀρειβάτην
τόξοις ἐναίρων τοῖσδ' ἔτ', ἀλλ' αὐτὸς τάλας
θανὼν παρέξω δαῖτ' ἀφ' ὧν ἐφερβόμην,
καί μ' οὓς ἐθήρων πρόσθε θηράσουσι νῦν·
φόνον φόνου δὲ ῥύσιον τίσω τάλας
πρὸς τοῦ δοκοῦντος οὐδὲν εἰδέναι κακόν.
ὄλοιο — μή πω πρὶν μάθοιμ' εἰ σὴν πάλιν
γνώμην μετοίσεις· εἰ δὲ μὴ, θάνοις κακῶς.
ΧΟ. *τί δρῶμεν; ἐν σοὶ καὶ τὸ πλεῖν ἡμᾶς, ἄναξ,*
ἤδη 'στὶ καὶ τὸ τοῦδε προσχωρεῖν λόγοις.
ΝΕ. *ἐμοὶ μὲν οἶκτος δεινὸς ἐμπέπτωκέ τις*
τοῦδ' ἀνδρὸς οὐ νῦν πρῶτον, ἀλλὰ καὶ πάλαι.
ΦΙ. *ἐλέησον, ὦ παῖ, πρὸς θεῶν, καὶ μὴ παρῇς*
σαυτοῦ βροτοῖς ὄνειδος ἐκκλέψας ἐμέ.
ΝΕ. *οἴμοι, τί δράσω; μή ποτ' ὤφελον λιπεῖν*
τὴν Σκῦρον· οὕτω τοῖς παροῦσιν ἄχθομαι.
ΦΙ. *οὐκ εἶ κακὸς σὺ, πρὸς κακῶν δ' ἀνδρῶν μαθὼν*
ἔοικας ἥκειν αἰσχρά. νῦν δ' ἄλλοισι δοὺς

954. *αὖ θανοῦμαι* mss. *αὑανοῦμαι* v. l. in schol. Nauck.

956. *τοισίδ'* mss. et vulg. Hic tantum apud Sophoclem legitur haec pronominis forma. Sed corrigendum opinor *τοῖσδ' ἔτ'*.

957. *δαῖθ' ὑφ' ὧν* mss. *δαῖτ' ἀφ' ὧν* recte Wund. prob. Dind., coll. Plat. Prot. 313. *τῶν ἀγωγίμων ἀφ' ὧν ἡ ψυχὴ τρέφεται.* Cf. 535. *ἀφ' ὧν διέζων.* 1110. *οὐ πτανῶν ἀπ' ἐμῶν ὅπλων ἴσχων φορβάν.* Arist. Pac. 850. *ζῶσιν ἀπὸ τούτων τινές.* Aliud significaret *ὑφ' ὧν*, sc. a quibus, quorum ope. Anglice by which.

958. De constructione cf. O. C. 547. *καὶ γὰρ ἂν οὓς ἐφόνευσά μ' ἀπώλεσαν.* 959. *ῥύσιον*] Anglice in payment of.

961. *εἰ καὶ πάλιν* mss. Qu. *εἰ σὴν πάλιν.*

964. *τοῖς τοῦδε προσχωρεῖν λόγοις* mss. Lege *τὸ τοῦδε* —.

968. *σαυτὸν Γ.* *ἐκκλέψας ἐμέ*] I. e. *ἀπατήσας* (schol.). Cf. 55.

971. *πρὸς κακῶν* mss. Qu. *παρὰ κακῶν*, cf. tamen O. C. 12. *μανθάνειν γὰρ ἥκομεν* | *ξένοι πρὸς* (f. *παρ'*) *ἀστῶν.*

972. *ἄλλοισι δοὺς* mss. *ἄλλοις σε* (pro *σεαυτὸν*) Wund. Recte, opinor. Cf. 84. *δός μοι σεαυτόν.* Tr. 1117. Eur. Ph. 21. *ἡδονῇ δούς.* Thuc. IV. 108. 4. *ἐλπίδι ἀπερισκέπτῳ διδόναι.*

οἷ' εἰκὸς ἔκπλει τἀμά μοι μεθεὶς ὅπλα.
ΝΕ. τί δρῶμεν, ἄνδρες; ΟΔ. ὦ κάκιστ' ἀνδρῶν, τί δρᾷς;
οὐκ εἶ μεθεὶς τὰ τόξα ταῦτ' ἐμοὶ πάλιν;
ΦΙ. οἴμοι, τίς ἀνήρ; ἆρ' Ὀδυσσέως κλύω;
ΟΔ. Ὀδυσσέως, σάφ' ἴσθ', ἐμοῦ γ', ὃν εἰσορᾷς.
ΦΙ. οἴμοι· πέπραμαι κἀπόλωλ'. ὅδ' ἦν ἄρα
ὁ ξυλλαβών με κἀπονοσφίσας ὅπλων.
ΟΔ. ἐγώ, σάφ' ἴσθ', οὐκ ἄλλος· ὁμολογῶ τάδε.
ΦΙ. ἀπόδος, ἄφες μοι, παῖ, τὰ τόξα. ΟΔ. τοῦτο μέν,
οὐδ' ἢν θέλῃ, δράσει ποτ'· ἀλλὰ καὶ σὲ δεῖ
στείχειν ἅμ' αὐτοῖς, ἢ βίᾳ στελοῦσί σε.
ΦΙ. ἔμ', ὦ κακῶν κάκιστε καὶ τολμήστατε,
οἵδ' ἐκ βίας ἄξουσιν; ΟΔ. ἢν μὴ ἕρπῃς γ' ἑκών.
ΦΙ. ὦ Λημνία χθὼν καὶ τὸ παγκρατὲς σέλας
Ἡφαιστότευκτον, ταῦτα δῆτ' ἀνασχετά,
εἴ μ' οὗτος ἐκ τῶν σῶν ἀπάξεται βίᾳ;
ΟΔ. Ζεύς ἐσθ', ἵν' εἰδῇς, Ζεύς, ὁ τῆσδε γῆς κρατῶν,
Ζεύς, ᾧ δέδοκται ταῦθ'. ὑπηρετῶ δ' ἐγώ.
ΦΙ. ὦ μῖσος, οἷα δὴ 'ξανευρίσκεις λέγειν·
θεοὺς προτείνων τοὺς θεοὺς ψευδεῖς τίθῃς.
ΟΔ. οὔκ, ἀλλ' ἀληθεῖς. ἥδ' ὁδὸς πορευτέα.
ΦΙ. οὔ φημ'. ΟΔ. ἐγὼ δέ φημι. πειστέον τάδε.
ΦΙ. οἴμοι τάλας. ἡμᾶς μὲν ὡς δούλους σαφῶς
πατὴρ ἄρ' ἐξέφυσεν οὐδ' ἐλευθέρους.

973. *οἷς* mss. *οἷ'* Dind. Quod recepi. Qu. *ὡς*.

983. *ἅμ' αὐτοῖς*] Sc. *τοῖς τόξοις*.

984. *τολμήστατε* mss. *τολμίστατε* Par. 2787. et Tricl. probat Dind. Fortasse recte. Cf. *κλεπτίστατος, λαγνίστατος, ψευδίστατος*. A *τολμῆς* (*τολμήεις*), quocum cf. *τιμῆς* (*τιμήεις*, Hom. Il. 18, 475. *χρυσὸν τιμῆντα*). V. schol. M. in Aesch. Pr. 234.

985. *μήρπῃς* (sic) L. Lege *ἢν μὴ ἕρπῃς* (*γ'*) *ἑκών*.

988. *ἐκ τῶν σῶν* mss. Corrigendum forsan *ἑδρῶν σῶν*.

991. *οἷα κἀξανευρίσκεις* mss. Qu. *οἷα δὴ 'ξανευρίσκεις*.

992. *θεοὺς* mss. Qu. *τοὺς θεούς* (mon.). *τοὺς θεοὺς*] Qu. *εἶτα θεούς* (mon.) aut *εἶτά νιν*. *τιθεῖς* aut *τιθεὶς* (L.) mss. *τίθῃς* Porson. Quam formam tuetur Cobet.

994. *ΦΙ. οὔ φημ' ἔγωγε. ΟΔ. φημί* mss. *ΦΙ. οὔ φημ'. ΟΔ. ἐγὼ δέ φημι* Gernhard. Nauck. Recte.

ΟΔ. οὔκ, ἀλλ' ὁμοίους τοῖς ἀρίστοισιν, μεθ' ὧν
Τροίαν σ' ἑλεῖν δεῖ καὶ κατασκάψαι βίᾳ.
ΦΙ. οὐδέποτέ γ', οὐδ' ἢν χρῇ με πᾶν παθεῖν κακὸν,
ἕως ἂν ᾖ γέ μοι τόδ' αἰπεινὸν βάθρον.
ΟΔ. τί δ' ἐργασείεις; ΦΙ. κρᾶτ' ἐμὸν τόδ' αὐτίκα
πέτρᾳ 'κ πέτρας ἄνωθεν αἱμάξω πεσών.
ΟΔ. ξυλλάβετε τοῦτον· μὴ 'πὶ τῷδ' ἔστω τάδε.
ΦΙ. ὦ χεῖρες, οἷα πάσχετ' ἐν χρείᾳ φίλης
νευρᾶς, ὑπ' ἀνδρὸς τοῦδε συνθηρώμεναι.
ὦ μηδὲν ὑγιὲς μηδ' ἐλεύθερον φρονῶν,
οἷόν μ' ὑπῆλθες, ὥς μ' ἐθηράσω, λαβὼν
πρόβλημα σαυτοῦ παῖδα τόνδ' ἀγνῶτ' ἐμοὶ,
ἀνάξιον μὲν σοῦ, κατάξιον δ' ἐμοῦ,
ὃς οὐδὲν ᾔδει πλὴν τὸ προσταχθὲν ποιεῖν,
δῆλος δὲ καὶ νῦν ἐστιν ἀλγεινῶς φέρων
οἷς τ' αὐτὸς ἐξήμαρτεν οἷς τ' ἐγὼ 'παθον.
ἀλλ' ἡ κακὴ σὴ διὰ μυχῶν βλέπουσ' ἀεὶ
ψυχή νιν ἀφυᾶ τ' ὄντα κοὐ θέλονθ' ὅμως
εὖ προυδίδαξεν ἐν κακοῖς εἶναι σοφόν.
καὶ νῦν ἔμ', ὦ δύστηνε, συνδήσας νοεῖς
ἄγειν ἀπ' ἀκτῆς τῆσδ', ἐν ᾗ με προύβαλες

1000. ἕως ἂν ᾖ μοι γῆς mss. ἕως ἂν ᾖ γέ μοι Bl. γῆς de insula Lemno intelligit Linwood. Cf. Aj. 135. τῆς ἀμφιρύτου Σαλαμῖνος βάθρον. γῆς τόδ' mss. Qu. τουτό γ'.

1002. πέτρᾳ πέτρας ἄνωθεν — πεσών] Connecte πέτρας ἄνωθεν. Sic ἄνωθεν γῆς Aesch. Ag. 1557. Cf. El. 747. τοῦ δὲ πίπτοντος πέδῳ. πέτρᾳ πέτρας mss. Qu. πέτρᾳ 'κ πέτρας (a rupe in rupem) aut τῆσδ' ἐκ πέτρας.

1003. ξυλλάβετ' αὐτὸν L. ξυλλάβετέ γ' αὐτὸν alii mss. ξυλλάβετον Bernhardy. Qu. ξυλλάβετον αὐτὸν, aut ξύλλαβέ τις αὐτόν.

1007. οἷα mss. οἷος T. οἷ' αὖ Herm. Dind. οἵως Porson. Lege οἷον (ut!).

1010. ᾔδει mss. ᾔδη Br. ᾔδειν Dind. Cf. ad Tr. 87. ποεῖν L.

1015. Qu. οὐδ' ἀπαράξαι γ' ἄρθρα βίᾳ θέλει —.

1016. ἔμ'] μ' B.

1017. προυβάλου mss. Nonne προύβαλες? Sic in Tr. 810. Qu. προύβαλον. Cf. 1028.

ἄφιλον, ἔρημον, ἄπορον, ἐν ζῶσιν νεκρόν.
φεῦ.
ὄλοιο· καί σοι πολλάκις τόδ' ηὐξάμην.
ἀλλ' οὐ γὰρ οὐδὲν θεοὶ νέμουσιν ἡδύ μοι,
σὺ μὲν γέγηθας ζῶν, ἐγὼ δ' ἀλγύνομαι
τοῦτ' αὖθ', ὅτι ζῶ σὺν κακοῖς πολλοῖς τάλας,
γελώμενος πρὸς σοῦ τε καὶ τῶν Ἀτρέως
διπλῶν στρατηγῶν, οἷς σὺ ταῦθ' ὑπηρετεῖς.
καίτοι σὺ μὲν κλοπῇ τε κἀνάγκῃ ζυγεὶς
ἔπλεις ἅμ' αὐτοῖς, ἐμὲ δὲ τὸν πανάθλιον
ἑκόντα πλεύσανθ' ἑπτὰ ναυσὶ ναυβάτην
ἄτιμον ἔβαλον, ὡς σὺ φῄς, κεῖνοι δὲ σέ.
καὶ νῦν τί μ' ἄγετε; τί μ' ἀπάγεσθε; τοῦ χάριν;
ὃς οὐδέν εἰμι καὶ τέθνηχ' ὑμῖν πάλαι.
πῶς, ὦ θεοῖς ἔχθιστε, νῦν οὐκ εἰμί σοι
χωλός, δυσώδης; πῶς θεοῖς τλήσεσθ' ἐμοῦ
στένοντος αἴθειν ἱερά; πῶς σπένδειν ἔτι;
αὕτη γὰρ ἦν σοι πρόφασις ἐκβαλεῖν ἐμέ.
κακῶς ὄλοισθ'· ὀλεῖσθε δ' ἠδικηκότες
τὸν ἄνδρα τόνδε, θεοῖσιν εἰ δίκης μέλει.
ἔξοιδα δ' ὡς μέλει γ'· ἐπεὶ οὔποτ' ἂν στόλον
ἐπλεύσατ' ἂν τόνδ' εἵνεκ' ἀνδρὸς ἀθλίου,
εἰ μή τι κέντρον θεῖον ἦγ' ὑμᾶς ἐμοῦ.

1018. *ἄπολιν* mss. *ἄπορον* recte Wakefield.
1019. *ηὐξάμην* (*ευ* sup. a m. pr.) L.
1023. *τε*] *γε* L.
1024. *διπλῶν* mss. Quidni *δισσῶν*?
1028. *ἔβαλον*] *ἔκβαλον* L. aliique duo. *ἐξέβαλον* *Γ*.
1030. *τέθνηχ' ὑμῖν*] Cf. Aj. 970. *θεοῖς τέθνηκεν οὗτος, οὐ κείνοισιν, οὔ* —.
1032. *εὔξεσθ'* mss. *τλήσεσθ'* probabilis et, ni fallor, certa Nauckii conjectura est, quam recepi. *ἐμοῦ* L. et al. *γρ. ὁμοῦ* in *Γ*. Ipse tentabam olim *θεοῖς ἐμοῦ 'ξετε*, aut *θεοῖσιν ἕξετε*, ut glossema sit *ἐμοῦ*.
1033. *πλεύσαντος* mss. Manifesto vitiosum. Nauckio jure suspectum. Lege *στένοντος* (Hart.) aut *συννόντος*. Conveniret etiam *βοῶντος* (11). Cf. supra vv. 8—11. *ἱερά* mss. *ἰρά* Dind.
1035. *ὄλοισθε* mss. *ὀλεῖσθε* Br.

ἀλλ', ὦ πατρῴα γῆ θεοί τ' ἐπόψιοι,
τίσασθε τίσασθ' ἀλλὰ τῷ χρόνῳ ποτὲ
ξύμπαντας αὐτοὺς, εἴ τι κἄμ' οἰκτείρετε·
ὡς ζῶ μὲν οἰκτρῶς, εἰ δ' ἴδοιμ' ὀλωλότας
τούτους, δοκοῖμ' ἂν τῆς νόσου πεφευγέναι.
ΧΟ. βαρύς τε καὶ βαρεῖαν ὁ ξένος φάτιν
τήνδ' εἶπ', Ὀδυσσεῦ, κοὐχ ὑπείκουσαν κακοῖς.
ΟΔ. πόλλ' ἂν λέγειν ἔχοιμι πρὸς τὰ τοῦδ' ἔπη,
εἴ μοι παρείκοι· νῦν δ' ἑνὸς κρατῶ λόγου.
οὗ γὰρ τεχνάζειν δεῖ, τοιοῦτός εἰμ' ἐγώ·
χὤπου δικαίων κἀγαθῶν ἀνδρῶν κρίσις,
οὐκ ἂν λάβοις μου μᾶλλον οὐδέν' εὐσεβῆ.
νικᾶν γε μέντοι πανταχοῦ χρῄζων ἔφυν,
πλὴν ἐς σέ· νῦν δὲ σοί γ' ἑκὼν ἐκστήσομαι.
ἄφετε γὰρ αὐτὸν, μηδὲ προσψαύσητ' ἔτι·
ἐᾶτε μίμνειν. οὐδὲ σοῦ προσχρῄζομεν
τά γ' ὅπλ' ἔχοντες ταῦτ', ἐπείπερ ἔστι μὲν
Τεῦκρος παρ' ἡμῖν τήνδ' ἐπιστήμην ἔχων,
ἐγώ θ', ὃς οἶμαι σοῦ κάκιον οὐδὲν ἂν
τούτων κρατύνειν οὐδ' ἐπιθύνειν χερί.
τί δῆτα σοῦ δεῖ; χαῖρε τὴν Λῆμνον πατῶν.
ἡμεῖς δ' ἴωμεν· καὶ τάχ' ἂν τὸ σὸν γέρας

1040. *θεοί τ' ἐπόψιοι*] Qu. *θεοί τ' ἐγχώριοι.*

1048. *εἴ μοι παρείκοι*] Si mihi occasio daretur. *παρείκοι* mss. Schol. *εἰ καιρὸς ἐπιτρέψειέ μοι.* Sed hujus usus exemplum desidero. Qu. *παρείη*, si mihi liceret. Forma *παρεικαθεῖν* (cedere, concedere) legitur O. C. 1334. Ant. 1102.

1049—1053. Versus fortasse interpolati.

1049. *τοιούτων* mss. Hoc insulsum et plane vitiosum est. Sententia *πανούργων* aut simile aliquod requirit. Qu. *τὲχνάζειν.*

1053. *εἰς* mss. *ἐς* Dind. *νῦν δὲ σοί γ'* mss. *σοὶ δὲ νῦν* Bergk. *σοί γ' — ἐκστήσομαι*] Cf. Aj. 672. *ἐξίσταται δὲ νυκτὸς αἰανῆς* (*αἰόλης*?) *κύκλος* | *τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν.*

1056. *ἐπεὶ πάρεστι* mss. *ἐπείπερ ἔστι* Wund. probat Dind. Qu. *ἐπείπερ εὔχεται — ἔχειν* (pro *ἔχων*).

1058. *ἐγώ θ'* mss. Fort. *ἐγὼ δ'*. Sed v. Dind. in ed. Oxon. et cf. 1136. *ὁρῶν μὲν —*. et ad 1056.

1059. *μήδ'* mss. Nonne *οὐδ'*, quum praecesserit *οὐδέν*?

τιμὴν ἐμοὶ νείμειεν, ἣν σὲ χρῆν ἔχειν.
ΦΙ. οἴμοι· τί δράσω δύσμορος; σὺ τοῖς ἐμοῖς
ὅπλοισι κοσμηθεὶς ἐν Ἀργείοις φανεῖ;
ΟΔ. μή μ' ἀντιφώνει μηδέν, ὡς στείχοντα δή.
ΦΙ. ὦ σπέρμ' Ἀχιλλέως, οὐδὲ σοῦ φωνῆς ἔτι
γενήσομαι προσφθεγκτός, ἀλλ' οὕτως ἄπει;
ΟΔ. χώρει σύ· μὴ πρόσλευσσε γενναῖός περ ὤν,
ἡμῶν ὅπως μὴ τὴν τύχην διαφθερεῖς.
ΦΙ. ἦ καὶ πρὸς ὑμῶν ὧδ' ἔρημος, ὦ ξένοι,
λειφθήσομαι δῆτ', οὐδ' ἐποικτερεῖτέ με;
ΧΟ. ὅδ' ἐστὶν ἡμῶν ναυκράτωρ ὁ παῖς· ὅσ' ἂν
οὗτος λέγῃ σοι, ταῦτά σοι χἠμεῖς φαμέν.
ΝΕ. ἀκούσομαι μὲν ὡς ἔφυν οἴκτου πλέως
πρὸς τοῦδ'· ὅμως δὲ μείνατ', εἰ τούτῳ δοκεῖ,
χρόνον τοσοῦτον, εἰς ὅσον τά τ' ἐκ νεὼς
στείλωσι ναῦται καὶ θεοῖς εὐξώμεθα.
χοὗτος τάχ' ἂν φρόνησιν ἐν τούτῳ λάβοι
λῴω τιν' ἢ νῦν. νὼ μὲν οὖν ὁρμώμεθα,
ὑμεῖς δ', ὅταν καλῶμεν, ὁρμᾶσθαι ταχεῖς.

Στροφὴ α.

ΦΙ. ὦ κοίλας πέτρας γύαλον
θερμὸν καὶ παγετῶδες, ὥς σ' οὐκ ἔμελλον ἄρ', ὦ τάλας,

1062. σ' ἐχρῆν mss. σὲ χρῆν Ellendt. Nauck.

1063. Scrib. τί δράσω δύσμορος;

1066. σοῦ φωνῆς] I. e. φωνῆς σου, nisi σῆς φωνῆς corrigendum.

1071. λειφθήσομ' ἤδη κοὐκ mss. λειφθήσομαι δὴ κοὐκ Wakef. λειφθήσομαι δῆτ', οὐδ' Bl.

1077. τά τ' ἐκ νεὼς στείλωσι] Anglice and have got ready things on board the ship. Qu. τά τ' ἐπὶ νεὺς —.

1079. ἡμῖν mss. Lege ἢ νῦν. Cf. ad Ant. 1090. καὶ γνῷ φέρειν — τὸν νοῦν τ' ἀμείνω τὰς φρένας τ' ἢ νῦν φέρει. Tr. 736. λῴους φρένας | τῶν νῦν παρουσῶν τῶνδ' ἀμείψασθαί ποθεν. ὁρμώμεθον mss. Lege ὁρμώμεθα.

1080. ὁρμᾶσθαι ταχεῖς] Cf. 526. ὁρμάσθω ταχύς.

1081. κοίλας πέτρας γύαλον] Qu. κοῖλον —.

1082. θερμόν τε καὶ mss. θερμὸν καὶ v. l. ap. Turn.

λείψειν οὐδέποτ', ἀλλά μοι καὶ θνήσκοντι συνείσει.
ὤμοι μοί μοι.
ὦ πληρέστατον αὔλιον
λύμας τᾶς ἀπ' ἐμοῦ, τάλαν, τί ποτέ μοι τὸ κατ' ἆμαρ
ἔσται; τοῦ ποτε τεύξομαι
σιτονόμου μέλεος πόθεν ἐλπίδος;
εἴθ' αἰθέρος ἄνω
πτωκάδες ὀξυτόνου διὰ πνεύματος
ἕλωσί μ'· οὐκ ἔτ' ἰσχύω.
ΧΟ. σύ τοι σύ τοι τάδ' ἠξίωσας,
ὦ βαρύποτμ', οὐκ ἄλλοθεν
ἔχει τύχᾳ τᾷδ'
ἀπὸ μείζονος,
εὖτέ γε παρὸν φρονῆσαι
λωΐονος δαίμονος εἵλου τὸ κάκιον ἀντί.

1085. *συνοίσει* mss. *συνείσει* Reisk. Ellendt. Bl.

1087. *πληρέστατον αὔλιον* mss. Qu. *πλῆρες πάνυ αὔλιον,* aut *πλῆρες τόδε ταὔλιον.* Cf. Aj. 307. *πλῆρες ἄτης ὡς διοπτεύει στέγος.* *αὐλίον* (sic) L.

1088. *λύπας* mss. Suspectum. Requiritur, ni fallor, nomen aliquod *οἰμωγὴν* significans, aut *λύμας* (i. e. *νοσηλείας*). V. Polyb. V. 59. 11.

1089. *τί ποτ'* mss. *τίπτε* Both. *ἦμαρ* mss. *ἆμαρ* Dind.

1091. Qu. — *σιτονόμου μέλεος; πόθεν ἐλπίς ἐστ';*

1092. *εἴθ' αἰθέρος ἄνω* mss. *εἰ θῆρες πλάνοι* Weckl. Qu. *ἄνωθεν* (gl. *ἐξ αἰθέρος*) *ταννῦν.* Respondet v. 1113. *ἰδοίμαν δέ νιν.*

1093. *ὀξυτόνου διὰ πνεύματος* mss. Fort. *ὀξυτόνου μετ' ὀρούματος.* Utique *μετὰ* pro *διὰ* reponendum videtur.

1094. *ἕλωσί μ'* mss. *ἐλῶσιν* Weckl. Lege *ἕλξουσί μ'.* *οὐ γὰρ ἔτ'* mss. *οὐκέτ'* Dissen. Cf. 1150. *οὐ γὰρ ἔχω χεροῖν τὰν πρόσθεν βελέων ἀλκάν.* *ἰσχύω* mss. *ἴσχω* Heath. Qu. *οὐκέτι σωκῶ* (gl. *ἰσχύω*), aut *οὐκέτ' ἀρκῶ.*

1095. *κατηξίωσας* mss. Cf. Aesch. Ag. 572. *καὶ πολλὰ χαίρειν ξυμφοραῖς καταξιῶ.* Sed corrigendum, ni fallor, *τάδ' ἠξίωσας.* Cf. 1116.

1096. *βαρύποτμε* mss. *βαρύποτμ'* Dind. *οὐκ* mss. *κοὐκ* Weckl.

1097. *ἔχει* (*η* sup. a m. pr.) *τύχᾳ τᾷδ'* L. *ἁ τύχα ἅδ'* Dind.

1098. *μείζονος*] Qu. *δαίμονος.* Cf. 1116.

1100. *τοῦ πλέονος* mss. *λωιτέρου* Wund. *πλέονος* Dind. ex schol. Lege *λωΐονος.* Cf. O. R. 1514. *τοῦ βίου δὲ λῴονος | ὑμᾶς κυρῆσαι —.*

Ἀντιστροφὴ α.

ΦΙ. ὤ τλάμων τλάμων ἄρ' ἐγὼ
καὶ μόχθῳ λωβατός, ὅς ἤδη μετ' οὐδενὸς ὕστερον
ἀνδρῶν εἰσοπίσω τάλας ναίων ἐνθάδ' ὀλοῦμαι,
αἰαῖ αἰαῖ,
οὐ φορβὰν ἔτι προσφέρων,
οὐ πτανῶν ἀπ' ἐμῶν ὅπλων κραταιαῖς μετὰ χερσὶν
ἴσχων· ἀλλά μοι ἄσκοπα
κρυπτά τ' ἔπη δολερᾶς ὑπέδυ φρενός·
ἰδοίμαν δέ νιν,
τὸν τάδε μησάμενον, τὸν ἴσον χρόνον
ἐμὰς λαχόντ' ἀνίας.
ΧΟ. πότμος πότμος σε δαιμόνων τάδ',
οὐδὲ σέ γε δόλος ἔσχ'
ὑπὸ χερὸς ἀμᾶς. στυγερὰν ἔχε
δύσποτμον ἀρὰν ἐπ' ἄλλοις·
καὶ γὰρ ἐμοὶ τοῦτο μέλει, μὴ φιλότητ' ἀπώσῃ.

ἑλεῖν mss. αἰνεῖν Herm. ἀντὶ Dind. Qu. ἴσχειν. Cf. El. 1086. πάγκλαυτον αἰῶνα κοινὸν (δεινὸν?) εἵλου.

1104. Aut ὕστερον aut εἰς ὀπίσω corruptum videtur. Dindorfius ἐκ παραλλήλου haec dicta esse opinatur.

1105. ἀνδρῶν mss. φωτῶν Mein.

1106. αἶ αἶ αἶ αἶ L.

1108. προσφέρων] Suspectum. Mediam vocem exspectabas προσφερόμενος. Schol. ἀντὶ τοῦ προσφερόμενος. Explicatio non probabilis. Aliud quid, ni fallor, reponendum, fort. προσκυρῶν.

1109. οὐ πτανῶν —] οὐ πτανῶν ὅπλ' ἐμῶν τόξων Hart. Qu. ἢ πτανῶν —. Qu. πρόσφορον.

1111. μοι ἄσκοπα mss. Schol. ἀπροσδόκητα. Qu. μ' ἀπρόσκοπα (Aesch. Eum. 105.). Post ὑπέδυ enim requiritur accusativus. Sed cf. Aesch. Cho. 815. ἄσκοπον δ' ἔπος λέγων —. De dativo μοι Wunderus confert Tr. 298. ἐμοὶ γὰρ οἶκτος δεινὸς εἰσέβη. ἄσκοπα — ἔπη] Cf. Aj. 21. πρᾶγος ἄσκοπον | ἔχει περάνας. El. 864. ἄσκοπος ἁ λώβα. 1113. ἰδοίμαν δέ νιν] Qu. ἰδοίμαν δ' ἐγώ.

1116. Alterum πότμος addidit Erfurdt.

1118. ἔσχε παλάμαις ἐμαῖσι Weckl.

1119. στυγερὰν ἔχε — ἀρὰν ἐπ' ἄλλοις] Cf. Pind. Fr. 50. ἀλόχῳ ποτὲ θωρηχθεὶς ἔπεχ' ἀλλοτρίᾳ. δύσποτμον] Nonne δύσποτμος?

Στροφὴ β.

ΦΙ. οἴμοι μοι, καί που πολιᾶς
πόντου θινὸς ἐφήμενος
γελᾷ μοι, χερὶ πάλλων
τὰν ἐμὰν μελέου τροφὰν,
τὰν οὐδεὶς ποτ' ἐβάστασεν.
ὦ τόξον φίλον, ὦ 'ξ ἐμῶν
χειρῶν ἐκβεβιασμένον,
ἦ που ἐλεῖν' ἐσορᾷς, φρένας εἴ τινας
ἔχεις, τὸν Ἡράκλειον
ἥλικα τόνδε σοι
οὐκέτι χρησόμενον τὸ μεθύστερον·
ἄλλου δ' ἐν μεταλλαγᾷ
πολυμηχάνου ἀνέρος ἔσσει,
ὁρῶν μὲν αἰσχρὰς ἀπάτας, στυγνὸν δὲ φῶτ' ἐχθοδοπὸν,
μυρί' ἀπ' αἰσχρῶν ἀνατέλλονθ' ὃς ἐφ' ἡμῖν κάκ' ἐμήσατ'
ἔργων.

1125. *γελᾷ μου* mss. Correxi *γελᾷ μοι*. Cf. Aj. 957. *γελᾷ δὲ τοῖσδε μαινομένοις ἄχεσιν.* *χειρὶ* mss. *χερὶ* Turn.

1128. *ὦ φίλων χειρῶν ἐκβεβιασμένον* mss. Legerim *ὦ 'ξ ἐμῶν* —, aut *ὦ 'κ τούτων* —. Respondet v. 1151. *τὰν πρόσθεν βελέων ἀλκάν.*

1130. *ἐλεινὸν ὁρᾷς* mss. Br. Corrigendum, opinor, *ἐλεῖν' ἐσορᾷς.* Vereor enim ut singularis *ἐλεινὸν* adverbii loco usurpari queat. Qu. *ἑταῖρον* (aut *ὀπαδὸν*) *ὁρᾷς.*

1132. *ἄθλιον* (*γρ. ἆθλον* in marg. ab S.) L. *ἄθλιον* aut *ἆθλον* al. *σύννομον* Dind. *ἥλικα* Bl. Cf. Aesch. Pers. 681. *ὧδε* mss. *τόνδε* Bl.

1133. *μεθ' ὕστερον* (sic) L.

1134. *ἔτ' ἀλλ' ἐν μεταλλαγᾷ* mss. *ἔτ'* suspectum, quum praecesserit *οὐκέτι.* (*ἔτ'*), *ἀλλ'* — Dind. Malim *ἄλλου δ'* —, aut *ἀλλ' ἄλλου 'ν μεταλλαγᾷ.*

1135. *ἀνδρὸς ἐρέσσει* mss. 'Versaris'. Cf. Aesch. Sept. 855. *ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν πίτυλον.* Virg. Aen. 8, 619. 'Miraturque interque manus et brachia versat | terribilem cristis galeam'. Sed requiritur futurum aliquod. Qu. *ἀνέρος* (aut *ἀνδρὸς ἄρ'*) *ἔσσει.*

1137. *στυγνόν τε* mss. *στυγνὸν δὲ* Turn.

1138. *μυρί' ἀπ' αἰσχρῶν ἀνατέλλονθ'* mss. Qu. *μυρία δ' αἴσχρ' ἔργ' ἀνατέλλονθ'* —.

ΧΟ. *ἀνδρός τοι τὰ μὲν ἔνδικ' ἐστὶν εἰπεῖν,*
εἰπόντος δὲ μὴ φθονερᾶς
ἐξῶσαι γλώσσας ὀδύναν.
κεῖνος δ' εἷς ἀπὸ πολλῶν
ταχθεὶς τάνδ' ἐφημοσύναν
κοινὰν ἤνυσε τοῖς φίλοις ἀρωγάν.

Ἀντιστροφὴ β.

ΦΙ. *ὦ πτανῶν θῆραι χαροπῶν τ'*
ἔθνη θηρῶν, οὓς ὅδ' ἔχει
χῶρος οὐρεσιφοίτας,
τοῦδε μηκέτ' ἀπ' αὐλίου
φύγητ'· οὐ γὰρ ἔχω χεροῖν
τὰν πρόσθεν βελέων ἀλκάν,
ὦ δύστανος ἐγώ, τανῦν,

1139. *'Οδυσσεύς* mss. *ὦ Ζεῦ* Dind. in ed. Oxon. coll. O. R. 1198. et Arist. Ach. 225. *οὐδείς* Bergk. Qu. *ἔργων* (*αἰσχρῶν*). Post *αἰσχρῶν* enim requiritur substantivum aliquod. Glossema est *'Οδυσσεύς*.

1140. *τὸ μὲν εὖ δίκαιον εἰπεῖν* mss. *ἓν* (!) pro *εὖ* Dind. Lege *τὰ μὲν ἔνδικ' ἐστὶν εἰπεῖν*, aut *τὸ μὲν ἔνδικον κατειπεῖν*.

1141. *φθονερὰν*] Lege *φθονερᾶς*.

1143. *κεῖνος*] Ulysses.

1144. *τοῦδ'* mss. *τῶνδ'* Thudichum. Dind. Nauck. *τάνδ'* Bl. Qu. *τάνδ'*.

1145. *ἤνυσεν ἐς φίλους* mss. Lege *ἤνυσε τοῖς φίλοις*.

1146. *πταναὶ θῆραι*] Correxi *πτανῶν θῆραι*. Cf. Aj. 168. *πτανῶν ἀγέλαι*. Aj. 564. *δυσμενῶν θήραν ἔχων*.

1148. *οὐρεσιβώτας* mss. Cf. *οἰοβώτας* Aj. 615. Qu. *οὐρεσιφοίτας*.

1149. *φυγᾷ μ' οὐκέτ' ἀπ' αὐλίων πελᾶτ'* mss. *οὐκ ἐμῶν ἔτ' ἀπ' αὐλίων φεύξεσθ'* conj. Nauck. *φυγᾷ μηκέτ' ἀπ' αὐλίων πηδᾶτ'* conj. Jebb. Sed vix placet pluralis *αὐλίων* pro *αὐλίου* (1087.). Qu. *τῶνδε μηκέτ' ἀπ' αὐλίων* (aut potius *τοῦδε — αὐλίου*) *φύγητ'*. Singularis forma *αὔλιον* est 19. 954. 1087., nusquam pluralis. *φυγᾷ* mss. Cf. O. R. 468. *ὥρα νιν φυγᾷ πόδα νωμᾶν*. Aj. 369. Qu. *φύγδα*. *μ' οὐκέτ'* mss. *μηκέτ'* Canter.

1150. *πελᾶτ'* mss. *πηδᾶτ'* Gleditsch. Jebb. Qu. *φύγητ'* aut *πτήξητ'*. *ἔχω χεροῖν*] Qu. *ἔχω* (*'ν*) *χεροῖν* —.

1151. *ἀλκὰν*] Trochaeum pro spondeo requirunt Herm. Wund.

1152. *τὰ νῦν* (sic) L.

ἀλλ' ἀνέδην ὅδε χῶρος ἐρύκεται,
οὐκέτι φοβητὸς ὑμῖν.
ἕρπετε, νῦν καλὸν
ἀντίφονον κορέσαι στόμα πρὸς χάριν
ἐμᾶς σαρκὸς αἰόλας·
ἀπὸ γὰρ βίον αὐτίκα λείψω.
πόθεν γὰρ ἔσται βιοτά; τίς ὧδ' ἐν αὔραις τρέφεται,
μηκέτι μηδενὸς κρατύνων ὅσα πέμπει βιόδωρος αἶα;
ΧΟ. πρὸς θεῶν, εἴ τι σέβει, ξένον † πέλασσον
εὐνοίᾳ πάσᾳ πελάσαντ',
εὖ γὰρ γνᾶθ', εὖ γνῶθ', ὅτι σὸν
κῆρα τάνδ' ἀποφεύγειν·
οἰκτρὰ γὰρ βόσκειν, ἀδαὴς δ'

1153. *ἀνέδην*] Effuse, licenter. I. q. *ἀνέτως, ἀνειμένως, ἐλευθέρως*. Nonnulli explicant 'libere, negligenter'. Anglice remissly, carelessly. Schol. *ἀδείᾳ ὑπὸ τῶν θηρῶν ὁ τόπος κατασχεθήσεται*. Cf. Aj. 1214. *νῦν δ' οὗτος ἀνεῖται στυγερῷ δαίμονι.* *ἐρύκεται* mss. Vitiosum hoc videtur. Qu. *ἀνοίγεται* (is thrown open). Nisi sensus hic potius est, is fenced off, 'is guarded'. Proprie ipsae aves *ἐρύκεσθαι* dicerentur.

1154. *οὐκέτι* mss. *ἔτ' οὐ* (?) Herm.

1156. *ἀντίφονον στόμα*] Cf. Aesch. Eum. 937. *ἀντιφόνους ἄτας*. Construe *κορέσαι στόμα ἐμᾶς σαρκὸς αἰόλας*.

1157. *αἰόλας*] Suspectum. *ἀθλίας* conj. Nauck. (Cf. Tr. 1079. *ἄθλιον δέμας*. O. C. 370. 753.) Fort. *ἐμπύου*.

1160. *ἐν αὔραις τρέφεται*] Suspectum. Schol. *ἐξ ἀνέμων*. Qu. *ἀπ' αὐρᾶν* —. Cf. ad 957. *ἀφ' ὧν ἐφερβόμην*.

1163. Interpunge sic, *πρὸς θεῶν, εἴ τι σέβει* (sc. *αὐτούς*), *ξένον*. *πέλασσον* mss. Suspectum. Qu. *δέχου* (aut *φίλει*) *τὸν* — *πελάσαντ'*. Cf. 1122.

1164. *πελάταν* mss. Lege *πελάσαντ'*. Cf. 301. 1163. O. C. 1107. 1761.

1165. *ἀλλὰ γνῶθ'* mss. Qu. *εὖ γὰρ γνῶθ'*. *ὅτι σοὶ* mss. Dind. *ἐπὶ σοὶ* Seyffert. Nauck. *σοὶ* mss. Lege *σόν* et sic Dind. Cf. O. C. 197. El. 1470.

1168. *ἔχειν* mss. *ἄγειν* Bl. Solennis haec confusio est. Lege *ἄγειν* (ducere, Angl. to draw). Cf. El. 118. *ἄγειν οὐκέτι σωκῶ λύπης ἀντίρροπον ἄχθος*.

ἄγειν μυρίον ἄχθος ᾧ ξυνοικεῖ.
ΦΙ. πάλιν πάλιν παλαιὸν ἄλγημ' ὑπέμνασας, ὦ
λῷστε τῶν πρὶν ἐντόπων.
τί μ' ὤλεσας; τί μ' εἴργασαι;
ΧΟ. τί τοῦτ' ἔλεξας;
ΦΙ. εἰ σὺ τὰν ἐμοὶ στυγερὰν
Τρῳάδα γᾶν μ' ἤλπισας ἄξειν.
ΧΟ. τόδε γὰρ νοῶ κράτιστον.
ΦΙ. ἀπό νύν με λείπετ' ἤδη.
ΧΟ. φίλα μοι φίλα ταῦτα παρήγγειλας ἑκόντι τε πράσσειν.
ἴωμεν ἴωμεν
ναὸς ἵν' ἡμῖν τέτακται.
ΦΙ. μή, πρὸς ἀραίου Διός, ἔλθῃς, ἱκετεύω. ΧΟ. μετρίαζε.
ΦΙ. ὦ ξένοι,
μείνατε πρὸς θεῶν. ΧΟ. τί θροεῖς;
ΦΙ. αἰαῖ αἰαῖ, δαίμων δαίμων.
ἀπόλωλ' ὁ τάλας.
ὦ πούς πούς, τί σ' ἔτ' ἐν βίῳ
τεύξω τῷ μετόπιν τάλας;
ὦ ξένοι, ἔλθετ' ἐπήλυδες αὖθις.
ΧΟ. τί ῥέξοντες ἀλλοκότῳ
γνώμᾳ τῶν πάρος ὧν προὔφαινες;
ΦΙ. οὔτοι νεμεσητὸν
ἀλύοντα χειμερίῳ

1169. ὃ L. aliusque unus. ᾧ cet. ᾧ ξυνοικεῖ] Cf. O. C. 514. τᾶς ἀλγηδόνος ᾗ ξυνέστας (ξυνοικεῖς aut ξυνναίεις?). O. C. 1238.

1171. τῶν πρὶν ἐντόπων mss. I. e. eorum qui huc (ad hoc antrum, domum meam) advenerunt. Schol. τῶν πλησιασάντων μοι πάλαι. Et sensui et metro convenerat τῶν ἐπηλύδων (1190.) aut τῶν πάρος ξένων.

1172. εἴργασαι mss. Nonne εἰργάσω (aor. ut ὤλεσας)?

1177. ἀπὸ νῦν L.

1185. ὦ ξένοι mss. ὦ ξένοι, ὦ ξένοι Gleditsch.

1190. ἔλθετ' ἐπήλυδες αὖθις] Venite rursus, redite. Chorus enim abeundi signa dederat.

1191. ῥέξοντες mss. ῥέξοντος Musgr. Qu. τί ῥέξεις γάρ.

1194. ἀλύοντα χειμερίῳ λύπᾳ] Cf. 1460. χειμαζομένῳ. Aj. 206. θολερῷ κεῖται χειμῶνι νοσήσας.

λύπᾳ καὶ παρὰ νοῦν θροεῖν.
ΧΟ. βᾶθί νυν, ὦ τάλαν, ὥς σε κελεύομεν.
ΦΙ. οὐδέποτ' οὐδέποτ', ἴσθι τόδ' ἔμπεδον,
οὐδ' εἰ πυρφόρος ἀστεροπητὰς
βροντᾶς αὐγαῖς μ' εἶσι φλογίζων.
ἐρρέτω Ἴλιον, οἵ θ' ὑπ' ἐκείνῳ
πάντες ὅσοι τόδ' ἔτλασαν ἐμὸν ποδὸς ἄρθρον ἀπῶσαι.
ἀλλ', ὦ ξένοι, ἕν γέ μοι ἔγχος ὀρέξατε.
ΧΟ. ποῖον ἐρεῖς τόδ' ἔπος; ΦΙ. ξίφος εἴ ποθεν
ἢ γένυν ἢ βελέων τι παρέξετε.
ΧΟ. ὡς τίνα δὴ ῥέξῃς παλάμαν ποτέ;
ΦΙ. ὡς ἀπὸ πάντα τάδ' ἄρθρα τέμω χερί.
φονᾷ φονᾷ νόος ἤδη.
ΧΟ. τί ποτε; ΦΙ. πατέρα ματεύων.
ΧΟ. ποῖ γᾶς; ΦΙ. ἐς Ἅιδου·
οὐ γάρ ἐν φάει 'στ' ἔτι.
ὦ πόλις, ὦ πόλις πατρία,
πῶς ἂν εἰσίδοιμ' ἄθλιός σ' ἀνήρ,

1199. *βρονταῖς αὐταῖς* mss. *βροντᾶς αὐγαῖς* correctum ex schol.

1202. *ἐμοῦ* mss. Lege *ἐμόν*. Cf. O. R. 1032. *ποδῶν* (l. *ποδοῖν*) *ἂν ἄρθρα μαρτυρήσειεν τὰ σά*. Sic El. 1350. *σῇ προμηθίᾳ χεροῖν*. *ἄρθρον* mss. *ἄχθος* frustra Gleditsch.

1203. *ἕν γέ μοι* mss. Qu. *ἕν γέ τι*. *εὖχος*] Votum reddunt. Lege *ἔγχος* (weapon). *ὀρέξατε*] Suspectum, nisi potius, quod probabile videtur, vitiosum est *εὖχος*.

1205. *προπέμψατε* mss. Lege *παρέξετε* aut *παράσχετε*.

1206. *τίνα* mss. *τίνα δὴ* Herm.

1207. *κρᾶτ' ἀπὸ πάντα καὶ ἄρθρα* mss. *κρᾶτα καὶ ἄρθρ' ἀπὸ πάντα* Bergk. *κρᾶτ' ἀπὸ πάντα τε τἄρθρα* Wunder. *κρᾶτ'* mss. Qu. *κῶλ'*, sed requiritur *ὡς*, quod reponendum videtur. Utique vitiosum est *κρᾶτ'*. *πάντα*] ad *ἄρθρα* pertinet. *καὶ* mss. Qu. *τάδ'*, aut *πάντ' ἐμὰ τἄρθρα*.

1211. Qu. *ποῦ γᾶς*. — *ἐν Ἅιδου*.

1212. *οὐ γάρ ἐστ'* mss. *οὐ γὰρ* Herm. *ἐν φάει γ' ἔτι* mss. Qu. *ἐν φάει 'στ' ἔτι*.

1213. *ὦ πόλις ὦ πόλις* — mss. *ὦ πόλις, ὦ* — Dind. *ὦ πόλις πόλις* Gleditsch.

1214. *εἰσίδοιμί σ' ἄθλιός γ'* mss. *εἰσίδοιμ' ἄθλιός σ'* Dind.

ὅς γε σαν λιπὼν ἱερὰν λιβάδ',
ἐχθροῖς ἔβαν Δαναοῖς
ἀρωγός. ἔτ' οὐδέν εἰμι.
ΧΟ. ἐγὼ μὲν ἤδη καὶ πάλαι νεὼς ὁμοῦ
στείχων ἂν ἦ 'γγὺς τῆς ἐμῆς, εἰ μὴ πέλας
Ὀδυσσέα τε τόνδε τόν τ' Ἀχιλλέως
γόνον πρὸς ἡμᾶς δεῦρ' ἰόντ' ἐλεύσσομεν.
ΟΔ. οὐκ ἂν φράσειας ἥντιν' αὖ παλίντροπος
κέλευθον ἕρπεις ὧδε σὺν σπουδῇ ταχύς;
ΝΕ. λύσων ὅσ' ἐξήμαρτον ἐν τῷ πρὶν χρόνῳ.
ΟΔ. δεινόν γε φωνεῖς· ἡ δ' ἁμαρτία τίς ἦν;
ΝΕ. ἣν σοὶ πιθόμενος τῷ τε σύμπαντι στρατῷ
ΟΔ. ἔπραξας ἔργον ποῖον ὧν οὔ σοι πρέπον;
ΝΕ. ἀπάταισιν αἰσχραῖς ἄνδρα καὶ δόλοις ἑλών.
ΟΔ. τὸν ποῖον; ὤμοι· μῶν τι βουλεύει νέον;
ΝΕ. νέον μὲν οὐδὲν, τῷ δὲ Ποίαντος τόκῳ
ΟΔ. τί χρῆμα δράσεις; ὥς μ' ὑπῆλθέ τις φόβος.
ΝΕ. παρ' οὗπερ ἔλαβον τάδε τὰ τόξ', αὖθις πάλιν
ΟΔ. ὦ Ζεῦ, τί λέξεις; οὔ τί που δοῦναι νοεῖς;
ΝΕ. αἰσχρῶς γὰρ αὐτὰ κοὐ δίκῃ λαβὼν ἔχω.
ΟΔ. πρὸς θεῶν πότερα δὴ κερτομῶν λέγεις τάδε;
ΝΕ. εἰ κερτόμησίς γ' ἐστι τἀληθῆ λέγειν.
ΟΔ. τί φῄς, Ἀχιλλέως παῖ; τίν' εἴρηκας λόγον;

1218 sq. Sic refingendos esse suspicatur M. Schmidt, *ἐγὼ μὲν ἤδη καὶ πάλαι παλίσσυτος | στείχων ἂν ἦν σοι τῆς ἐμῆς νεὼς πέλας, | εἰ μὴ πρὸς ἡμᾶς τόν τ' Ἀχιλλέως γόνον | Ὀδυσσέα τε δεῦρ' ἰόντ'* (i. e. *ἰόντε*) *ἐλεύσσομεν*. Utique vix sincera videtur codicum lectio.

1218. *νεῶς* (sic) L. a sec. m. *ὁμοῦ*] Suspectum Nauckio. Sed *ὁμοῦ* cum *στείχων* construendum est. Cf. ad 1219.

1219. *ἂν ἦν σοι* mss. Ineptum hic est *σοι*. Itaque correxi *ἂν ἦ 'γγὺς* —. *ἦν* mss. *ἦ* Elmsl.

1227. *ὧν οὔ σοι πρέπον*] Qu. *ὧν μή σοι πρέπον*.

1231. *τί χρῆμα* aliquot mss. *τί χρῆμα τί* L. Lb. *Γ*. Qu. *τί δὴ τί δράσεις*. *ὥς μ' ὑπῆλθέ τις φόβος*. Cf. El. 1112. *ὥς μ' ὑπέρχεται φόβος*. 928. *θαῦμά τοί μ' ὑπέρχεται*.

1235. *πότερα δὴ* plerique mss. *πότερα* (om. *δὴ*) L. Lb. et *Γ*. *πότερα σὺ* conj. Herm. *πότερα δὲ* conj. Dind.

1236. Lege *εἰ κερτόμησίς* (*γ'*) *ἐστι* —. Particula deest in mss.

ΝΕ. δὶς ταὐτὰ βούλει καὶ τρὶς ἀναπολεῖν μ' ἔπη;
ΟΔ. ἀρχὴν κλύειν ἂν οὐδ' ἅπαξ ἐβουλόμην.
ΝΕ. εὖ νυν ἐπίστω πάντ' ἀκηκοὼς λόγον.
ΟΔ. ἔστιν τις, ἔστιν, ὅς σε κωλύσει τὸ δρᾶν.
ΝΕ. τί φής; τίς ἔσται μ' οὑπικωλύσων τάδε;
ΟΔ. ξύμπας Ἀχαιῶν λαός, ἐν δὲ τοῖς ἐγώ.
ΝΕ. σοφὸς πεφυκὼς οὐδὲν ἐξαυδᾷς σοφόν.
ΟΔ. σὺ δ' οὔτε φωνεῖς οὔτε δρασείεις σοφά.
ΝΕ. ἀλλ', εἰ δίκαια, τῶν σοφῶν κρείσσω τάδε.
ΟΔ. καὶ πῶς δίκαιον ἅλαβες βουλαῖς ἐμαῖς,
πάλιν μεθεῖναι ταῦτα; *ΝΕ.* τὴν ἁμαρτίαν
αἰσχρὰν ἁμαρτὼν ἀναλαβεῖν πειράσομαι.
ΟΔ. στρατὸν δ' Ἀχαιῶν οὐ φοβεῖ πράσσων τάδε;
ΝΕ. ξὺν τῷ δικαίῳ τὸν σὸν οὐ ταρβῶ ψόφον.
ἀλλ' οὐδέ τῇ σῇ χειρὶ πείσομαι τὸ δρᾶν.
ΟΔ. οὔ τἄρα Τρωσίν, ἀλλὰ σοί, μαχούμεθα.
ΝΕ. ἔσται τὸ μέλλον. χεῖρα δεξιὰν ὁρᾷς
κώπης ἐπιψαύουσαν; *ΟΔ.* ἀλλὰ κἀμέ τοι
ταὐτὸν τόδ' ὄψει δρῶντα κοὐ μέλλοντ' ἔτι.
καίτοι σ' ἐάσω· τῷ δὲ σύμπαντι στρατῷ

1238. *ταῦτα* mss. *ταὐτὰ* Herm. Dind. Recte. Cf. Pind. N. 7, 152. *ταὐτὰ δὲ τρὶς τετράκις τ' ἀμπολεῖν ἀπορία τελέθει.*

1240. Qu. *εὖ τοῦτ' ἐπίστω —.* *ἀκηκοὼς* L. Tricl. Recte. *ἀκήκοας* cet. Cf. O. R. 658. *εὖ νυν ἐπίστω — ἐμοὶ ζητῶν ὄλεθρον.* El. 616. *εὖ νυν ἐπίστω τῶνδέ μ' αἰσχύνην ἔχειν.* Ant. 305. *εὖ τοῦτ' ἐπίστασο.* Aj. 1080. 1370. 1399. etc.

1245. *σοφόν* mss. *σοφά* Br.

1247. *ἅ γ' ἔλαβες* mss. *ἅλαβες* Dind. Recte.

1251. Lege *ψόφον* (Anglice bluster). Cf. Aj. 1116. *τοῦ δὲ σοῦ ψόφου | οὐκ ἂν στραφείην.* Dindorfius explicat *τὸν ἀπὸ σοῦ φόβον.* Conferri non debet Aj. 531. *φόβῳ σῷ* (timore tui). Post h. v. Ulixis verba intercidisse intellexit Hermann.

1252—1258. *ΟΔ. ἀλλ' — | ΝΕ. οὔτ' ἄρα — | ΟΔ. ἔστω — | ΝΕ. χεῖρα — | ΟΔ. ἀλλὰ — τιμωρήσεται* L. Recte Turn. ut supra.

1252. *τοι σῇ χειρὶ*] Correxi *τῇ σῇ χειρί.* *πείθομαι* mss. Lege *πείσομαι.* Cf. Eur. Suppl. 1078.

1254. *ἔστω* mss. Lege *ἔσται.* Cf. Aesch. Ag. 1240. *τὸ μέλλον ἥξει.*

λέξω τάδ' ἐλθών, ὅς σε τιμωρήσεται.
ΝΕ. ἐσωφρόνησας· κἢν τὰ λοίφ' οὕτω φρονῇς,
ἴσως ἂν ἐκτὸς κλαυμάτων ἔχοις πόδα.
σὺ δ', ὦ Ποίαντος παῖ, Φιλοκτήτην λέγω,
ἔξελθ', ἀμείψας τάσδε πετρήρεις στέγας.
ΦΙ. τίς αὖ παρ' ἄντροις θόρυβος ἵσταται βοῆς;
τί μ' ἐκκαλεῖσθε, τοῦ κεχρημένοι, ξένοι;
ὤμοι· κακὸν τὸ χρῆμα. μῶν τί μοι νέον
πάρεστε πρὸς κακοῖσι πέττοντες κακόν;
ΝΕ. θάρσει· λόγους δ' ἄκουσον οὓς ἥκω φέρων.
ΦΙ. δέδοικ' ἔγωγε· καὶ τὰ πρὶν γὰρ ἐκ λόγων
καλῶν κακῶς ἔπραξα σοῖς πεισθεὶς λόγοις.
ΝΕ. οὔκουν ἔνεστι καὶ μεταγνῶναι πάλιν;
ΦΙ. τοιοῦτος ἦσθα τοῖς λόγοισι χὤτε μου
τὰ τόξ' ἔκλεπτες, πιστὸς, ἀτηρὸς λάθρα.
ΝΕ. ἀλλ' οὔτι μὴν νῦν· βούλομαι δέ σου κλύειν,
πότερα δέδοκταί σοι μένοντι καρτερεῖν,
ἢ πλεῖν μεθ' ἡμῶν. ΦΙ. παῦε, μὴ λέξῃς πέρα·
μάτην γὰρ ἂν εἴπῃς σὺ πάντ' εἰρήσεται.
ΝΕ. οὕτω δέδοκται; ΦΙ. καὶ πέρα γ', ἴσθ', ἢ λέγω.
ΝΕ. ἀλλ' ἤθελον μὲν ἄν σε πεισθῆναι λόγοις
ἐμοῖσιν· εἰ δὲ μή τι πρὸς καιρὸν λέγων
κυρῶ, πέπαυμαι. ΦΙ. πάντα γὰρ φράσεις μάτην·
οὐ γάρ ποτ' εὔνουν τὴν ἐμὴν κτήσει φρένα,
ὅστις γ' ἐμοῦ δόλοισι τὸν βίον λαβὼν
ἀπεστέρηκας, κᾆτα νουθετεῖς ἐμὲ

1265. *μέγα* mss. *νέα* Bergk. Lege *νέον* — *κακόν*.

1266. *πέμποντες* mss. Nauckio suspectum. Lege *πέττοντες* (coquentes).

1267. *λόγους δ'* mss. Qu. *λόγους τ'* aut *λόγους*.

1270. *οὐκοῦν* (sic) L.

1273. *ἀλλ' οὔτι μὴν νῦν*] Cf. El. 817. *ἀλλ' οὔτι μὴν ἔγωγε — ξύνοικος εἴσειμ'*. *μὴν* L. *μὴ* al.

1275. *παῦσαι* mss. *παῦε* Tricl.

1276. *ἂν εἴπῃς γε* mss. Lege *ἂν εἴπῃς σὺ* —.

1282. *γ' ἐμοῦ* mss. Malim *γέ μου*. *λαβὼν*] Fort. *λαθών*.

1283. *τὸν βίον ἀπεστέρηκας*] Cf. 931. *ἀπεστέρηκας τὸν βίον*.

ἐλθὼν, ἀρίστου πατρὸς αἴσχιστος γεγώς.
ὄλοισθ᾽, Ἀτρεῖδαι μὲν μάλιστ᾽, ἔπειτα δὲ
ὁ Λαρτίου παῖς καὶ σύ. ΝΕ. μὴ ᾽πεύξῃ πέρα,
δέχου δὲ χειρὸς ἐξ ἐμῆς βέλη τάδε.
ΦΙ. πῶς εἶπας; ἆρα δεύτερον δολούμεθα;
ΝΕ. ἀπώμοσ᾽ ἁγνὸν Ζηνὸς ὑψίστου σέβας.
ΦΙ. ὦ φίλτατ᾽ εἰπών, εἰ λέγεις ἐτήτυμα.
ΝΕ. τοὔργον τάχ᾽ ἔσται φανερόν· ἀλλὰ δεξιὰν
πρότεινε χεῖρα καὶ κράτει τῶν σῶν ὅπλων.
ΟΔ. ἐγὼ δ᾽ ἀπαυδῶ γ᾽, ὡς θεοὶ ξυνίστορες,
ὑπέρ τ᾽ Ἀτρειδῶν τοῦ τε σύμπαντος στρατοῦ.
ΦΙ. τέκνον, τίνος φώνημα, μῶν Ὀδυσσέως,
ἐπῃσθόμην; ΟΔ. σάφ᾽ ἴσθι, καὶ πέλας γ᾽ ὁρᾷς,
ὅς σ᾽ ἐς τὰ Τροίας πεδί᾽ ἀποστελῶ βίᾳ,
ἐάν τ᾽ Ἀχιλλέως παῖς ἐάν τε μὴ θέλῃ.
ΦΙ. ἀλλ᾽ οὔ τι χαίρων, ἢν τόδ᾽ ὀρθωθῇ βέλος.
ΝΕ. ἆ, μηδαμῶς, μὴ πρὸς θεῶν, ἀφῇς βέλος.
ΦΙ. μέθες με, πρὸς θεῶν, χεῖρα, φίλτατον τέκνον.
ΝΕ. οὐκ ἂν μεθείην. ΦΙ. φεῦ· τί μ᾽ ἄνδρα πολέμιον
ἐχθρόν τ᾽ ἀφείλου μὴ κτανεῖν τόξοις ἐμοῖς;
ΝΕ. ἀλλ᾽ οὔτ᾽ ἐμοὶ τοῦτ᾽ ἐστὶν οὔτε σοὶ καλόν.
ΦΙ. ἀλλ᾽ οὖν τοσοῦτόν γ᾽ ἴσθι, τοὺς πρώτους στρατοῦ

1284. *ἐλθὼν*] Huc advectus. Qu. *ἀρίστου* (᾽*κ*) *πατρὸς*, coll. Aj. 472. *ἐκ κείνου γεγώς*. 1289. 1299. Fr. 103, 3. O. C. 571. Similis versus est in Adesp. 9, 2. *ἀρίστου* (f. *ἀρίστου* ᾽*κ*) *πατρὸς Ἑλλήνων γεγώς*. Cf. etiam O. R. 1168. *ἢ δοῦλος ἢ κείνου τις ἐγγενὴς* (*οἰκέτης*?) *γεγώς*. *ἔχθιστος* mss. Pal. *αἴσχιστος* Pierson. Wund. Dind. Neu. Bl. Nauck. 1288. *οὐκ ἆρα* mss. *ἆρα* Porson.

1289. *ἁγνοῦ* mss. *ἁγνὸν* recte Wakef. *ἁγνὸν — Ζηνὸς σέβας*] Cf. Aesch. Eum. 845. *ἁγνὸν — Πειθοῦς σέβας*.

1290. Fort. *εἰ λέγεις* (*γ᾽*) *ἐτήτυμα*.

1291. *παρέσται* L. et al. *πάρεστι Γ.* Correxi *τάχ᾽ ἔσται*.

1294. *τ᾽* add. plerique mss. om. L. et al.

1296. *καὶ πέλας γ᾽ ὁρᾷς* mss. Fort. *καὶ πέλας σφ᾽ ὁρᾷς*.

1300. *ἀᾶ* L. corr. *ἀα* (sic) pr. *ἆ ἆ* al. *ἆ* Turn. *μεθῇς*] *ἀφῇς* conj. Nauck. Recte. Idem ipse conjeceram.

1304. *καλὸν τοῦτ᾽ ἐστὶν οὔτε σοὶ* mss. *τοῦτ᾽ ἐστὶν οὔτε σοὶ καλόν* Wakef. Quod recepi.

τοῦ τῶν Ἀχαιῶν ψευδοκήρυκας κακοὺς
ὄντας πρὸς αἰχμὴν, ἐν δὲ τοῖς λόγοις θρασεῖς.
ΝΕ. εἶεν· τὰ μὲν δὴ τόξ' ἔχεις, κοὐκ ἔσθ' ὅτου
ὀργὴν ἔχοις ἂν οὐδὲ μέμψιν εἰς ἐμέ.
ΦΙ. ξύμφημι· τὴν φύσιν δ' ἔδειξας, ὦ τέκνον,
ἐξ ἧς ἔβλαστες, οὐχὶ Σισύφου πατρὸς,
ἀλλ' ἐξ Ἀχιλλέως, ὃς μετὰ ζώντων ὅτ' ἦν
ἤκου' ἄριστα, νῦν δὲ τῶν τεθνηκότων.
ΝΕ. ἥσθην πατέρα τὸν ἀμὸν εὐλογοῦντά σε
αὐτόν τ' ἔμ'. ἃν δ' ἔκ σου τυχεῖν ἐφίεμαι
ἄκουσον. ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν
τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν·
ὅσοι δ' ἑκουσίαισιν ἔγκεινται βλάβαις,
ὥσπερ σὺ, τούτοις οὔτε συγγνώμην ἔχειν
δίκαιόν ἐστιν οὔτ' ἐποικτείρειν τινά.
σὺ δ' ἠγρίωσαι κοὔτε σύμβουλον δέχει,
ἐάν τε νουθετῇ τις εὐνοίᾳ λέγων,
στυγεῖς πολέμιον δυσμενῆ θ' ἡγούμενος.
ὅμως δὲ λέξω· Ζῆνα δ' ὅρκιον καλῶ·
καὶ ταῦτ' ἐπίστω καὶ γράφου φρενῶν ἔσω.
σὺ γὰρ νοσεῖς τόδ' ἄλγος ἐκ θείας τύχης,
Χρύσης πελασθεὶς φύλακος, ὃς τὸν ἀκαλυφῆ
σηκὸν φυλάσσει κρύφιος οἰκουρῶν ὄφις.
καὶ παῦλαν ἴσθι τῆσδε μή ποτ' ἂν τυχεῖν
νόσου βαρείας, ἕως ἂν οὗτος ἥλιος

1308. *δὴ* om. L. add. plerique mss. *ὅπου* mss. *ὅτου* Turn.

1312. *θ'* om. L. addunt plerique mss.

1314. *ἥσθην — εὐλογοῦντά σε*] Similiter Aesch. Sept. 815. *πόλιν μὲν εὖ πράσσουσαν* (*χαίρειν πάρα*). *ἐμὸν* mss. *ἀμὸν* Tricl.

1315. *αὐτόν τέ μ'* mss. Lege *αὐτόν τ' ἔμ'*. *ὧν δὲ σοῦ τυχεῖν ἐφίεμαι*] Qu. *ἃ δὲ νῦν σοῦ —*. Cf. O. C. 1168. *ὅστις ἂν σου τοῦτο προσχρῄζοι τυχεῖν*. *δέ σου* mss. Lege *δ' ἔκ σου*. Cf. Ant. 665. *οὐκ ἔστ' ἐπαίνου τοῦτον ἐξ ἐμοῦ τυχεῖν*.

1318. *ἑκουσίοισιν — βλάβαις*] Quidni *ἑκουσίαισιν —*?

1329. *ἐντυχεῖν* mss. *ἂν τυχεῖν* Porson.

1330. *ὡς ἂν* mss. *ἔστ' ἂν* Br. Lege *ἕως ἄν*. Monosyllabum hic est *ἕως*. Cf. Aj. 1117. *ὡς ἂν ᾖς οἷός περ εἶ*. O. C. 1361. *ὥσπερ*

ταύτῃ μὲν αἴρῃ, τῇδε δ' αὖ δύνῃ πάλιν,
πρὶν ἂν τὰ Τροίας πεδί' ἑκὼν αὐτὸς μόλῃς,
καὶ τῶν παρ' ἡμῖν ἐντυχὼν Ἀσκληπιδῶν
νόσου μεταστῇς τῆσδε καὶ τὰ Πέργαμα
ξὺν τοῖσδε τόξοις ξύν τ' ἐμοὶ πέρσας φανῇς.
ὡς δ' οἶδα ταῦτα τῇδ' ἔχοντ' ἐγὼ φράσω.
ἀνὴρ γὰρ ἡμῖν ἔστιν ἐκ Τροίας ἁλούς,
Ἕλενος ἀριστόμαντις, ὃς λέγει σαφῶς
ὡς δεῖ γενέσθαι ταῦτα· καὶ πρὸς τοῖσδ' ἔτι,
ὡς ἔστ' ἀνάγκη τοῦ παρεστῶτος θέρους
Τροίαν ἁλῶναι πᾶσαν· ἢ δίδωσ' ἑκὼν
κτείνειν ἑαυτόν, ἢν τάδε ψευσθῇ λέγων.
ταῦτ' οὖν ἐπεὶ κάτοισθα, συγχώρει θέλων·
καλὴ γὰρ ἡπίκτησις, Ἑλλήνων ἕνα
κριθέντ' ἄριστον τοῦτο μὲν παιωνίας
ἐς χεῖρας ἐλθεῖν, εἶτα τὴν πολύστονον
Τροίαν ἑλόντα κλέος ὑπέρτατον λαβεῖν.
ΦΙ. ὦ στυγνὲ δαῖμον, τί μ' ἔτι δῆτ' ἔχεις ἄνω

ἂν ζῶ. αὐτὸς mss. αὑτὸς Doederl. Dind. οὗτος recte Br. Bl., coll. Herod. 8, 143. ἔς τ' ἂν ὁ ἥλιος τὴν αὐτὴν ὁδὸν ἴῃ. Plut. Aristid. c. 10. τοῖς δὲ — τὸν ἥλιον δείξας, ἄχρις ἂν οὗτος, ἔφη, ταύτην πορεύηται τὴν πορείαν Ἀθηναῖοι πολεμήσουσι Πέρσαις. Recte. Adde Eur. Fr. 316. καλὸν μὲν φέγγος ἡλίου τόδε. Fr. 816, 11. πᾶς τις φοβεῖται φῶς λιπεῖν τόδ' ἡλίου.

1331. αἴρῃ] I. q. ἀνατέλλῃ.

1333. τῶν — Ἀσκληπιδῶν (sic L. Ἀσκληπιαδῶν al.)] τοῖν — Ἀσκληπίδαιν Erf. Qu. τοῖν — Ἀσκληπιοῦ.

1334. μαλαχθῇς mss. Lege μεταστῇς. Cf. 463. καί σε δαίμονες· | νόσου μεταστήσειαν τῆσδε. Eur. Or. 133. μεταστήσουσ' ὕπνου τόνδ' ἡσυχάζοντα.

1337. γὰρ ἡμῖν mss. παρ' ἡμῖν Elmsl. Recte. Cf. Eur. Hec. 322. εἰσὶν παρ' ἡμῖν — γυναῖκες. ἐστιν vulg. Scribendum ἔστιν.

1338. ἀριστόμαντις mss. Qu. ἄριστος μάντις. Sed cf. σεμνόμαντις O. R. 556.

1344. ἕνα κριθέντ' ἄριστον] Cf. O. R. 1380. O. C. 563. 739. Aj. 1340. Tr. 460. Eur. Her. 8.

1348. ὦ στυγνὸς αἰὼν mss. Inepta est codi cum lectio: Corrigendum videtur ὦ στυγνὲ δαῖμον. Cf. El. 918. νῷν δ' ἦν τὰ πρόσθεν (πάροιθε?) στυγνός (δαίμων).

βλέποντα κοὐκ ἀφῆκας εἰς Ἅιδου μολεῖν;
οἴμοι, τί δράσω; πῶς ἀπιστήσω λόγοις
τοῖς τοῦδ', ὃς εὔνους ὢν ἐμοὶ παρήνεσεν;
ἀλλ' εἰκάθω δῆτ'; εἶτα πῶς ὁ δύσμορος
ἐς φῶς τάδ' ἔρξας εἶμι; τοῦ προσήγορος;
πῶς, ὦ τὰ πάντ' ἰδόντες ἀμφ' ἐμοὶ κύκλοι,
ταῦτ' ἐξανασχήσεσθε, τοῖσιν Ἀτρέως
ἐμὲ ξυνόντα παισὶν, οἵ μ' ἀπώλεσαν;
πῶς τῷ πανώλει παιδὶ τοῦ Λαερτίου;
οὐ γάρ με τἄλγος τῶν παρελθόντων δάκνει,
ἀλλ' οἷα χρὴ παθεῖν με πρὸς τούτων ἔτι
δοκῶ προλεύσσειν· οἷς γὰρ ἡ γνώμη κακῶν
μήτηρ γένηται, τἄλλα παιδεύει κακούς.
παῖ, σοῦ δ' ἔγωγε θαυμάσας ἔχω τόδε.
χρῆν γάρ σε μήτ' αὐτόν ποτ' ἐς Τροίαν μολεῖν,
ἡμᾶς τ' ἀπείργειν, οἵ γέ σου καθύβρισαν,
πατρὸς γέρας συλῶντες [οἳ τὸν ἄθλιον
Αἴανθ' ὅπλων σοῦ πατρὸς ὕστερον δίκῃ
Ὀδυσσέως ἔκριναν]. εἶτα τοῖσδε σὺ
εἶ ξυμμαχήσων, κἄμ' ἀναγκάζεις τόδε;
μὴ δῆτα, τέκνον ἀλλά μ', ὃ ξυνήνεσας,

1349. *ἀφῆκας* mss. *ἐφῆκας* sine causa Herwerden.

1353. *εἰς* mss. *ἐς* Dind. *τῷ προσήγορος* mss. *τοῦ* Schaefer. Recte. Cf. O. R. 1437. *μηδενὸς προσήγορος*. Ant. 1185. *Παλλάδος — προσήγορος* (act.).

1354. *ἰδόντες ἀμφ' ἐμοῦ κύκλοι*] Qu. *ἰδόντε τἀμφ' ἐμοὶ κύκλοι*. *ἀμφ' ἐμοῦ*] Qu. *ἀμφ' ἐμοί*. *κύκλοι*] Sc. oculorum. Cf. O. R. 1270. *ἔπαισεν ἄρθρα τῶν αὐτοῦ κύκλων*.

1157. *τῷ Λαερτίου* mss. Lege *τοῦ Λαερτίου*.

1361. *κακά* mss. *κακούς* Dobr.

1362. *καὶ σοῦ δ' ἔγωγε* mss. *παῖ, σοῦ δ' ἔγωγε* Porson.

1364. *οἵ τε* mss. *οἵ γε* Br.

1365 sq. *οἳ τὸν ἄθλιον — ἔκριναν*] Haec ut spuria damnant Br. Dind. et plerique editores.

1366. *καί μ'* mss. *κἄμ'* Br. *τόδε* L. in litura. *τάδε* Tricl.

1367. *ἀλλ' ἅ μοι ξυνώμοσας* mss. *ἀλλά μ', ὃ ξυνήνεσας* Bl. Cf. 1395. *ὃ δ' ἤνεσας μοι —*. 122. O. C. 1508. *ξυνώμοσας* mss. Lege *ξυνήνεσας* aut *κατήνεσας*.

πέμψον πρὸς οἴκους· καὐτὸς ἐν Σκύρῳ μένων
ἔα κακοὺς αὐτοὺς ἀπόλλυσθαι κακῶς.
χοὔτω διπλῆν μὲν ἐξ ἐμοῦ κτήσει χάριν,
διπλῆν δὲ πατρός· κοὐ κακοὺς ἐπωφελῶν
δόξεις ὅμοιος τοῖς κακοῖς πεφυκέναι.
ΝΕ. λέγεις μὲν εἰκότ', ἀλλ' ὅμως σε βούλομαι
θεοῖς τε πιστεύσαντα τοῖς τ' ἐμοῖς λόγοις
φίλου μετ' ἀνδρὸς τοῦδε τῆσδ' ἐκπλεῖν χθονός.
ΦΙ. ἦ πρὸς τὰ Τροίας πεδία καὶ τὸν Ἀτρέως
ἔχθιστον υἱὸν τῷδε δυστήνῳ ποδί;
ΝΕ. πρὸς τοὺς μὲν οὖν σε τήνδε τ' ἔμπυον βάσιν
παύσοντας ἄλγους κἀποσώσοντας νόσου.
ΦΙ. ὦ δεινὸν αἶνον αἰνέσας, τί φῄς ποτε;
ΝΕ. ἃ σοί τε κἀμοὶ λῷσθ' ὁρῶ τελούμενα.
ΦΙ. καὶ ταῦτα λέξας οὐ καταισχύνει θεούς;
ΝΕ. πῶς γάρ τις αἰσχύνοιτ' ἂν ὠφελῶν φίλους;
ΦΙ. λέγεις δ' Ἀτρείδαις ὠφέλημ' ἦ 'μοὶ τόδε;
ΝΕ. σοί που φίλος γ' ὤν, χὠ λόγος τοιόσδε μου.
ΦΙ. πῶς, ὅς με τοῖς ἐχθροῖσιν ἐκδοῦναι θέλεις;
ΝΕ. ὦ τᾶν, διδάσκου μὴ θρασύνεσθαι 'ν κακοῖς.

1369. *κακῶς — κακοὺς* mss. Malim *κακοὺς — κακῶς*. Cf. Aj. 1177. *κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονός.* Numerosior lectio foret *κακῶς ἔα αὐτοὺς ἐξαπόλλυσθαι κακῶς.*

1379. *κἀποσῴζοντας* mss. *κἀποσώσοντας* Heath.

1381. *καλῶς* L. *Γ. κάλ'* al. *λῷσθ'* Dind. Pal. *τελούμενα*] Futurum. Qu. *φανούμενα.*

1382. *οὐ καταισχύνει* mss. Fort. *οὐκ ἐπαισχύνει* (aut *οὐδὲν αἰσχύνει*) —. Sic mox *αἰσχύνεσθε* 1418. et *αἰσχύνοιτο* Ph. 1383. Cf. O. R. 1416. *εἰ τὰ θνητῶν μὴ καταισχύνεσθ'* (*μηδὲν αἰσχύνεσθ'*?) *ἔτι* —.

1383. *ὠφελούμενος* mss. *ὠφελῶν φίλους* Schubert. Cf. 111. *ὅταν τι δρᾷς ἐς κέρδος, οὐκ ὀκνεῖν πρέπει.*

1384. *ἢ 'π' ἐμοὶ* mss. Lege *ἦ 'μοί.* *τόδε* L. *τάδε* plerique mss.

1386. *ὅς γε* mss. Malim *ὅς με.* *ἐχθροῖσιν* mss. *ἐχθροῖσί μ'* Br. *ἐκδοῦναι*] Cf. Aesch. Suppl. 335. *αἰτοῦσι μὴ 'κδῷς παισὶν Αἰγύπτου πάλιν.* *θέλεις*] *νοεῖς* bene Nauck.

1387. *θρασύνεσθαι κακοῖς* mss. Lege *θρασύνεσθαι 'ν κακοῖς.* Cf. O. C. 592. *ὦ μῶρε, θυμὸς ἐν κακοῖς οὐ ξύμφορον.*

ΦΙ. ὀλεῖν με γιγνώσκω σε τοῖσδε τοῖς λόγοις.
ΝΕ. οὐ δῆτ' ἔγωγε· φημὶ δ' οὔ σε μανθάνειν.
ΦΙ. ἐγὼ οὐκ Ἀτρείδας ἐκβαλόντας οἶδά με;
ΝΕ. ἀλλ' ἐκβαλόντες σ' εἰ πάλιν σώσουσ' ὅρα.
ΦΙ. οὐδέποθ' ἑκόντα γ' ὥστε τὴν Τροίαν ἰδεῖν.
ΝΕ. τί δῆτ' ἂν ἡμεῖς δρῷμεν, εἰ σέ γ' ἐν λόγοις
πείθειν δυνησόμεσθα μηδὲν ὧν θέλω;
ὥρα 'στὶν ἐμὲ μὲν τῶν λόγων λῆξαι, σὲ δὲ
ζῆν ὥσπερ ἤδη ζῇς ἄνευ σωτηρίας.
ΦΙ. ἔα με πάσχειν ταῦθ' ἅπερ πάσχειν με δεῖ·
ἃ δ' ᾔνεσάς μοι δεξιᾶς ἐμῆς θιγών,
πέμψειν πρὸς οἴκους, ταῦτά μοι πρᾶξον, τέκνον,
καὶ μὴ βράδυνε μηδ' ἐπιμνησθῇς ἔτι
Τροίας· ἅλις γάρ μοι τεθρήνηται γόοις.
ΝΕ. εἰ δοκεῖ, στείχωμεν. ΦΙ. ὦ γενναῖον εἰρηκὼς ἔπος.
ΝΕ. ἀντέρειδε νῦν βάσιν σήν. ΦΙ. εἰς ὅσον γ' ἐγὼ σθένω.
ΝΕ. αἰτίαν δὲ πῶς Ἀχαιῶν φεύξομαι; ΦΙ. μὴ φροντίσῃς.
ΝΕ. τί γάρ, ἐὰν πορθῶσι χώραν τὴν ἐμήν; ΦΙ. ἐγὼ παρὼν
ΝΕ. τίνα προσωφέλησιν οἴσεις; ΦΙ. βέλεσι τοῖς Ἡρακλέους

1388. *γιγνώσκω σε* — mss. Qu. *γιγνώσκω, σὺ* —, aut *ὀλεῖν* (aut *ἀπολεῖν*) *με γιγνώσκω σε* —.

1389. *οὐκ οὖν* mss. Etiam Nauckio suspectum. Lege *οὐ δῆτ'*. Cf. ad O. R. 565. *φημὶ δ' οὔ σε μανθάνειν*] Cf. 1058. Eur. Hipp. 507. *χρῆν μὲν οὔ σ' ἁμαρτάνειν*.

1390. *ἔγωγ' οὐ κατρείδας* L. *ἐγώ γ' οὐκ Ἀτρείδας* Γ. *ἔγωγ' Ἀτρείδας* cet. *ἐγὼ οὐκ Ἀτρείδας* Wunder. Dind.

1393. *εἴ σέ γ' ἐν λόγοις* mss. et. vulg. Qu. *εἴ γέ σ'* —, aut *εἰ λόγοισί σε*.

1394. *πείσειν* mss. *πείθειν* Schaefer. *πεῖσαι* Nauck.

1395. *ὡς ῥᾷστ'* mss. Lege *ὥρα 'στίν*. *ἐμοὶ* mss. Lege *ἐμέ*.

1397. *ἔα με πάσχειν* mss. Qu. *ἔα παθεῖν με*, nisi potius *πάσχειν* pro *παθεῖν* corrigendum.

1399. *πέμπειν* mss. Lege *πέμψειν*.

1401. *τεθρήνηται γόοις* recte L. Saepe consociantur *θρῆνοι* et *γόοι*. V. ad Ant. 883. Eur. Andr. 92. *θρήνοισι καὶ γόοισι καὶ δακρύμασι*. *γόοις* plerique mss. *λόγοις* (*γρ. γόοις* ab S.) L.

1403. Qu. *ἀντέρειδέ νυν*.

1406. *ἔρξεις* (*ἕρξεις* L.) mss. Lege *οἴσεις*, aut *ἕξεις*. *Ἡρακλείοις* mss. *Ἡρακλέους* Br.

ΝΕ. πῶς λέγεις; ΦΙ. εἴρξω πελάζειν. ΝΕ. στεῖχε προσκύ-
σας χϑόνα.

ΗΡΑΚΛΗΣ.

μήπω, πρίν γ' ἂν τῶν ἡμετέρων
ἀΐῃς μύϑων, παῖ Ποίαντος.
φάσκειν δ' αὐδὴν τὴν Ἡρακλέους
ἀκοῇ τε κλύειν λεύσσειν τ' ὄψιν.
τὴν σὴν δ' ἥκω χάριν οὐρανίας
ἕδρας προλιπών,
τὰ Διός τε φράσων βουλεύματά σοι,
κατερητύσων ϑ' ὁδὸν ἣν στέλλει·
σὺ δ' ἐμῶν μύϑων ἐπάκουσον.
καὶ πρῶτα μέν σοι τὰς ἐμὰς λέξω τύχας,
ὅσους πονήσας καὶ διεξελϑὼν πόνους
ἀϑάνατον ἀρετὴν ἔσχον, ὡς πάρεσϑ' ὁρᾶν.
καὶ σοί, σάφ' ἴσϑι, τοῦτ' ὀφείλεται παϑεῖν,
ἐκ τῶν πόνων τῶνδ' εὐκλεᾶ ϑέσϑαι βίον.
ἐλϑὼν δὲ σὺν τῷδ' ἀνδρὶ πρὸς τὸ Τρωϊκὸν
πόλισμα πρῶτον μὲν νόσου παύσει λυγρᾶς,
ἀρετῇ δὲ πρῶτος ἐκκριϑεὶς στρατεύματος
Πάριν τε, τῶνδ' ὃς αἴτιος κακῶν ἔφυ,
τόξοισι τοῖς ἐμοῖσι νοσφιεῖς βίου,
πέρσεις τε Τροίαν, σκῦλά τ' ἐς μέλαϑρα σὰ
πέμψεις, ἀριστεῖ' ἐκλαβὼν στρατεύματος,

1407. πελάζειν [σῆς πάτρας] Dind. Nauck. [ἀλλ' εἰ δρᾷς ταῦϑ' ὥσπερ αὐδᾷς] στεῖχε Dind. Nauck.

1409. μήπω γε] Cf. Aesch. Pr. 649.

1411. φάσκειν] Anglice Consider. Cf. 57. El. 9.

1416. ὁδὸν mss. Qu. ὁδοῦ.

1418. λέξω mss. δείξω sine causa Bergk.

1420. ἀρετὴν] Suspectum Nauckio.

1425. ἀρετῇ τε mss. ἀρετῇ δὲ malit Nauck.

1428. εἰς L.

1429. ἐκβαλὼν mss. ἐκλαβὼν Turn. Lege ἐκλαχών. Cf. O. C. 1337. τὸν αὐτὸν δαίμον' ἐξειληχότες (ἐξειληφότες mss.). El. 760. ἐκλάχῃ. Arist. Av. 279. λόφον κατειληφώς (l. κατειληχώς).

Ποίαντι πατρὶ πρὸς πάτρας Οἴτης πλάκας.
ἃ δ' ἂν λάβῃς σὺ σκῦλα τοῦδε τοῦ στόλου
τόξων ἐμῶν μνημεῖα πρὸς πυρὰν ἐμὴν
κόμιζε. καὶ σοὶ ταῦτ', Ἀχιλλέως τέκνον,
παρῄνεσ'· οὔτε γὰρ σὺ τοῦδ' ἄτερ σθένεις
ἑλεῖν τὰ Τροίας πέργαμ' οὔθ' οὗτος σέθεν·
ἀλλ' ὡς λέοντε συννόμω φυλάσσετον
οὗτος σὲ καὶ σὺ τόνδ'. ἐγὼ δ' Ἀσκληπιὸν
παυστῆρα πέμψω σῆς νόσου πρὸς Ἴλιον.
τὸ δεύτερον γὰρ τοῖς ἐμοῖς αὐτὴν χρεὼν
τόξοις ἁλῶναι. το˜το δ' ἐννοεῖθ' ὅταν
πορθῆτε γαῖαν, εὐσεβεῖν τὰ πρὸς θεούς.
[ὡς τἄλλα πάντα δεύτερ' ἡγεῖται πατὴρ
Ζεύς. ἡ γὰρ εὐσέβεια συνθνήσκει βροτοῖς·
κἂν ζῶσι κἂν θάνωσιν, οὐκ ἀπόλλυται,]

ΦΙ. ὦ φθέγμα ποθεινὸν ἐμοὶ πέμψας,
χρόνιός τε φανείς,
οὐκ ἀπιθήσω τοῖς σοῖς μύθοις.

1430. πλάκα L. aliique. πλάκας A. et al. Cf. O. R. 1103. πλάκες ἀγρόνομοι. Ambo numeri in usu sunt.

1431. τοῦδε τοῦ στρατοῦ mss. τοῦδε τοῦ στόλου Herm. σκῦλα πολεμίου (aut τοῦ δῄου) στρατοῦ Schneid. Vitiosa haec esse videntur. Qu. τοῦ δᾳου (hostilis) στρατοῦ. Sic δάϊος στρατὸς Aesch. Pr. 431. Sed forma contracta δᾷος non legitur in senariis. Displicet inter alia in his versibus repetitio nominis σκῦλα.

1435. τὸ Τροίας πεδίον mss. Correxi τὰ Τροίας πέργαμ'.

1436. φυλάσσετον] φυλάξετον conj. Pal. Cf. El. 21. ξυνάπτετον.

1440. ἐννοεῖσθ' mss. ἐννοεῖθ' Elmsl. Activa forma in septem aliis locis utitur Sophocles.

1441. εὐσεβεῖν τὰ πρὸς θεοὺς mss. Qu. εὐσεβεῖν εἰς τοὺς θεούς. Cf. Ant. 731. εὐσεβεῖν ἐς τοὺς θεούς. Eur. Fr. 685, 3.

1442—1444. Versus ut spurios secludit Dind. Recte, ut videtur.

1443. ἡ γὰρ εὐσέβεια συνθνήσκει βροτοῖς mss. Wunder. οὐ γὰρ ηὐσέβεια — Valck. Br. Porson. Schaefer. Cf. Arist. Ran. 868. ὅτι ἡ ποίησις οὐχὶ συντέθνηκε μοι, | τούτῳ δὲ συντέθνηκεν. Eur. Fr. 734, 3. κακοῖσι δὲ | ἅπαντα φροῦδα συνθανόνθ' ὑπὸ χθονός.

1444. Hunc versum damnat Wunder. Cf. Aj. 1344. Eur. Fr. 734. ἀρετὴ δὲ, κἂν θάνῃ τις, οὐκ ἀπόλλυται.

ΝΕ. κἀγὼ γνώμην ταύτην τίθεμαι.
ΗΡ. μή νυν χρόνιοι μέλλετε πράσσειν.
καιρὸς καὶ πλοῦς·
ὅδ' ἐπείγει γὰρ κατὰ πρύμνην.
ΦΙ. φέρε νυν στείχων χώραν καλέσω.
χαῖρ', ὦ μέλαθρον ξύμφρουρον ἐμοί,
Νύμφαι τ' ἔνυδροι λειμωνιάδες,
καὶ κτύπος ἄρσην πόντου προβλής θ',
οὗ πολλάκι δὴ τοὐμὸν ἐτέγχθη
κρᾶτ' ἐνδόμυχον πληγαῖσι νότου,
πολλὰ δὲ φωνῆς τῆς ἡμετέρας
Ἑρμαῖον ὄρος παρέπεμψεν ἐμοὶ
στόνον ἀντίτυπον χειμαζομένῳ.

1448. *γνώμῃ ταύτῃ* mss. *γνώμην ταύτην* Toup. Elmsl. Bl. Cf. Arist. Eccl. 658. *κἀγὼ ταύτην γνώμην ἐθέμην* (*ταύτῃ τίθεμαι?*). Andoc. 26, 9. *γνώμην περὶ ἡμῶν ἔθεντο*. Heliodor. 2, 29. *ταύτῃ τῇ γνώμῃ* (*ταύτην τὴν γνώμην?*) *τίθεμαι καὶ αὐτός*. Elmsl. ad Heracl. 1053. Articuli omissio ante *γνώμην* hic et in Eccl. 658. excusationem, ut videtur, habet ut in anapaestis. Similiter *σὴν χάριν* in dimetro iambico Ach. 1232.

1449. *μὴ νῦν* L. *πράττειν* mss. *πράσσειν* Br.

1450. *καιρὸς καὶ πλοῦς* mss. Qu. *οὖρος καὶ πλοῦς*, aut *καιρὸς δὲ πλόου 'στ'*, aut *καίριος οὖρος δ'· | ὅδ' ἐπείγει γὰρ —*. Cf. 855. *οὖρός τοι, τέκνον, οὖρος*. 466. *καιρὸς γὰρ καλεῖ πλοῦν — ἐγγύθεν σκοπεῖν*. Fortasse nautica exclamatio erat *οὖρος καὶ πλοῦς*.

1451. *ὅδ'*] Sub. *ἄνεμος* aut *οὖρος*. Punctum post *ὅδ'* est in L. *πρύμναν* mss. *πρύμνην* Herm. Wund. Dind. Bl. Utraque forma proba est, *πρύμνην* metro requiritur in v. 482.

1452. *νῦν* L. *χώραν καλέσω* mss. *χαίρειν καλέσω* Bergk. Qu. *χαίρειν λέξω* (*εἴπω*).

1455. *προβλὴς* mss. *προβολῆς* (?) Dind. Herm. *προβλής θ'* Musgr. Cf. 936. *ὦ λιμένες, ὦ προβλῆτες*. Apud Homerum est *ἀκτὴ προβλής*.

1456. *οὗ*] Ubi.

1457. *πληγαῖσι*] *πληγῇσι* mss.

1459. *Ἕρμαιον* mss. *Ἑρμαῖον* ex Eustathio ad Hom. p. 1809, 42.

1460. *ἀντίτυπον*] Anglice, reverberating, responsive to my call. Connectendum cum *φωνῆς τῆς ἡμετέρας*.

νῦν δ', ὦ κρῆναι Λύκιόν τε ποτὸν,
λείπομεν ὑμᾶς λείπομεν ἤδη,
δόξης οὔ ποτε τῆσδ' ἐπιβάντες.
χαῖρ', ὦ Λήμνου πέδον ἀγχίαλον,
καί μ' εὐπλοίᾳ πέμψον ἀμέμπτως
ἔνθ' ἡ μεγάλη Μοῖρα κομίζει
γνώμη τε φίλων χὠ πανδαμάτωρ
δαίμων, ὃς ταῦτ' ἐπέκρανεν.
ΧΟ. *χωρῶμεν δὴ πάντες ἀολλεῖς,*
νύμφαις ἁλίαισιν ἐπευξάμενοι
νόστου σωτῆρας ἱκέσθαι.

1461. Cf. Ant. 844. *ἰὼ Διρκαῖαι κρῆναι Θήβας τ' εὐαρμάτου ἄλσος.* Aj. 862. *ὦ κρῆναί τε ποταμοί θ' οἵδε.* O. C. 1333. *γλύκιον* (tria puncta sup. *γ* a m. ant.) L. *γλυκίον* (*εῖ* sup. *ί*) *Γ.* *Λύκιον* Br. ex schol.

1463. *λείπομεν, οὐ δὴ | δόξης ποτὲ τῆσδ' ἐπιβάντες* Herm., paroemiacum hic requiri putans. Ipse malim *λείπομεν ἤδη | δόξης τῆσδ' οὐκ ἐπιβάντες.*

1464. *ἀμφίαλον* mss. Qu. *ἀγχίαλον.* Cf. Aj. 135. *Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου* (l. *ἀγχίαλον*).

1466. Cf. Aesch. Eum. 1045. *Παλλάδος ἀστοῖς Ζεὺς παντόπτας οὕτω Μοῖρά τε συγκατέβαν.*

1467. *χὠ πανδαμάτωρ δαίμων*] Nimirum *Ζεύς.*

1470. De caesurae violatione cf. Aesch. Ag. 64. *γόνατος κονίαισιν ἐρειδομένου.*

1471. *σωτῆρας*] Pro *σωτείρας* positum.

ADDENDA.

8—11. Cf. 1032 sq.

21. *ποτὸν κρηναῖον*] Cf. 1461. *ὦ κρῆναι Λύκιόν τε ποτόν.* Fr. 564. *πρὸς ναρὰ δὴ κρηναῖα χωροῦμεν ποτά.* *ἐστὶ σῶν* mss. Semper in hoc haesi, quod manifesto vitiosum est, et saepe mihi in mentem venit correctio *ἐστὶ νῶν* (*νᾶον*), sed eam amplecti dubitavi et quia insolitum est et propter similitudinem inter *νῶν* et *νῷν* (*νῶϊν*). Nimirum, ut fluvii plus minusve rapidi *ῥεῖν* dicuntur, sic fontes tacite et quiete ebullientes *νᾶν* proprie dicuntur. Unde *ῥεῦμα* et *νᾶμα,* et *ναϊάδες* vocantur fontium nymphae. Cf. Soph. Fr. 825, 2. *Ὑπέρεια κρήνη, νᾶμα θεοφιλέστατον.* Ant. 1130. *Κασταλίας τε νᾶμα.* Eur. Hipp. 225. *κρηναίων νασμῶν.* Phoen. 102. *Δίρκης νᾶμα.* 939. 663. *νάματ' ἔνυδρα.* 127. Herc. 573. Bacch. 5. Hom. Od. 6, 292. *ἐν δὲ κρήνη νάει.* Il. 21, 197. *καὶ φρείατα μακρὰ νάουσιν.* De *ἐστὶ νῶν* pro simplice *νᾷ* posito cf. 412. *οὐκ ἦν ἔτι ζῶν.* 420. *θάλλοντές εἰσι.* 435. *τεθνηκὼς ἦν.* 459. *ἐξαρκοῦσα — ἔσται.* 600. *ἦσαν — ἐκβεβληκότες.* 1016. *ἐστὶν — φέρων.*

137. *ἀνέμων ὁ φίλτατος*] Cf. 530. *ὦ φίλτατον μὲν ἦμαρ —.* 234. *ὦ φίλτατον φώνημα.* Qu. *ὦ φίλτατε.*

154. *χῶρον τίν' ἔχει*] Cf. 22. O. C. 137. *ἔχεις γὰρ χῶρον οὐχ ἁγνὸν πατεῖν.*

186. *βαρεῖα — ἀχὼ*] Cf. 208. *βαρεῖα — αὐδά.* Eur. Hipp. 791. *ἠχὼ βαρεῖα.*

205. *βάλλει μ' ἐτύμα φθογγὰ*] Verba vix sana. Scripserat fortasse *βάλλει με πικρὰ φθογγὰ* aut aliquod simile. Cf. Ant. 1188. *καί με φθόγγος οἰκείου κακοῦ | βάλλει δι' ὤτων.*

208. *βαρεῖα — αὐδὰ*] Cf. 186. *βαρεῖα — ἀχώ.* Eur. Hipp. 791. *ἠχὼ βαρεῖα.*

220. *κἀκ ποίας πάτρας* L. et al. *ναυτίλῳ πλάτῃ* al. *κἀκ ποίας τύχης* Nauck. Schneid. Dind. Quod recipiendum videtur; *πατρίδος* mentio fit in v. 222. Bene conveniret etiam *καὶ ποίᾳ τύχῃ.*

223. *ποίας πάτρας ὑμᾶς ἂν* mss. *ποίας ἂν ὑμᾶς πατρίδος* Dind. Quod multo melius sonat.

228. *κακούμενον* Br. Wund.

234. *φεῦ, τὸ καὶ λαβεῖν* — mss. Diu et attente considerato hoc loco magis magisque in dies credibile mihi videtur corrigendum esse *φεῦ, τὸ μὴ λαβεῖν* —. Ne alia dicam, *φεῦ* non effuse gaudentis, sed dolentis, exclamatio est.

235. Pro *χρόνῳ μακρῷ* malim *μακρῷ χρόνῳ*.

237. Cf. 530. *ὦ φίλτατον μὲν ἦμαρ, ἥδιστος δ' ἀνήρ.*

241. *οἶσθα δὴ τὸ πᾶν*] Cf. O. C. 889. *λέξαθ', ὡς εἰδῶ τὸ πᾶν.*

248. *ἦ γὰρ μετέσχες καὶ σὺ —;*] Cf. 322. *ἦ γάρ τι καὶ σὺ —;*

254. *πολλὰ μοχθηρὸς*] Cf. Ant. 1045. *πολλὰ δεινοί.* El. 1326. *οἱ πλεῖστα μῶροι.*

256. *που* mss. Lege *πω.* *μήθ'* mss. *μηδ'* Wund. Dind. Recte.

263. Notandus articulus in fine senarii. Sic *τὸν* in Ant. 409.

267. *χαράγματι*] I. e. *δήγματι.*

283. *παρὸν* mss. Lege *μόνον*. Cf. Horat. II. Serm. 5, 69. 'invenietque | nil sibi legatum praeter plorare suisque.'

285. Brunckius bene vertit 'Interea tempus procedebat, die diem excipiente'.

287. *διακονεῖσθαι*] Cf. Arist. Ach. 1028. *ὡς μαγειρικῶς | αὑτῷ διακονεῖται.*

297. Cf. Virg. Georg. I. 135. 'Ut silicis venis abstrusum (*ἄφαντον*) excuderet ignem'.

305. *πολλὰ*] Hic fortasse valet *πολλάκις*, ut alibi.

306. Qu. *ἐν τῷ μακρῷ — ἀνθρώπων βίῳ.* Intelligo quid sit *ὁ μακρὸς ἀνθρώπων βίος*, non item *ὁ — χρόνος.* Ita apparet vis articuli. Sic O. R. 1487. *τοῦ πικροῦ βίου.* Cf. Aj. 473. *τοῦ μακροῦ βίου.* Fr. 325, 2 D. *μακρὸν βίον.* Aj. 646. *ὁ μακρὸς — χρόνος.* Tr. 542. *τοῦ μακροῦ χρόνου.* 599. O. R. 963. *τῷ μακρῷ χρόνῳ.* Si vera lectio est *ἀνθρώπῳ*, cf. Tr. 694. *θαῦμ' ἀξύμβλητον ἀνθρώπῳ μαθεῖν.* Ant. 1155. *ἀνθρώπου βίον.* Fr. 519 D. *ἀνθρώπου ζόαν.*

313. *τὴν* mss. Lege *τήνδ'.* Cf. 795. *τήνδε τὴν νόσον.* 1330. 1335.

319 sq. Haec sic corrigenda videntur *τοῖσδε μαρτυρῶ λόγοις· | ὡς δ' εἴσ' ἀληθεῖς οἶδα·* —.

324. *θυμὸν — χειρὶ πληρῶσαι*] Cf. Eur. Hipp. 1327. *Κύπρις — πληροῦσα θυμόν.* Plat. Resp. V. 445 A. *πληρῶν τὸν θυμόν.*

347. *ἤ μ'* mss. *ἢ 'μ'* Erf. Herm. etc. *εὖ περιστέλλουσιν*] I. e. diligenter protegunt et curant. Cf. Eur. Med. 579. *εὖ περιστελεῖν.* Theocr. 1575. Herod. 6, 30. 7, 97.

353. *τἀπὶ Τροία πέργαμα*] Cf. Eur. Andr. 293. *περγάμοις Τροίας*. Sed simpliciter *τὰ πέργαμα* Phil. 347. 1334.

370. *πρὶν μαθεῖν ἐμοῦ*] Schol. *πρὶν ἐμοῦ πυθέσθαι*.

371. *ὁ δ' εἶπ' Ὀδυσσεὺς*] Cf. Aj. 780. *ὁ δὲ — Τεῦκρος*.

373. *κἀκεῖνον*] Schol. *τὸν Ἀχιλλέα*.

374. *κακοῖς*] Opprobriis. *τοῖς πᾶσιν*] Cf. 47.

375. *οὐδὲν ἐνδεὲς ποιούμενος*] Nullum indictum relinquens.

377. *ἐνθάδ' ἥκων*] Anglice 'Having come to this pass.' Cf. O. R. 1158. *ἐς τόδ' ἥξεις*. Aj. 1382. *ἐνθάδ' ἵξομαι*.

392. *τὸν μέγαν*] Hoc suspectum est Wundero. Fortasse inclytum valet.

394. *νέμεις*] 'Tenes, possides'. (Dind.)

405. *προσᾴδεθ'*] Schol. *συμφωνεῖτε*.

421. *παλαιὸς*] Qu. *δίκαιος*. Cf. 449. *τὰ δὲ* | *δίκαια καὶ τὰ χρηστὰ* —.

422. *ἔστιν*] Vivit, vivus est. Cf. Arist. Pac. 700. *τί δαὶ Κρατῖνος ὁ σοφός; ἔστιν; — ἀπέθανεν*.

423. *κείνων κακὰ*] Mala ab iis illata. Cf. 511. *τὸ κείνων κακόν*.

438. *κατ' αὐτὸ τοῦτο*] Hanc ipsam ob rem.

440. Cf. El. 1424. *Ὀρέστα, πῶς κυρεῖτε;*

447. *ἔθνη θηρῶν*] Cf. Ant. 345. *θηρῶν ἀγρίων ἔθνη*.

448. *παλιντριβῆ*] Versuta. Cf. v. *τρῖμμα* Arist. Nub. 260. Av. 430. et v. *τρίβων* eodem sensu.

450. *ποῦ χρὴ τίθεσθαι ταῦτα —;*] Anglice 'How (in what light) are we to take these things?' Cf. 473. et Aj. 1100. O. R. 390.

456. *ὅπου θ'* mss. Lege *ὅπου δ'*, pleno puncto post *φυλάξομαι*

463. Cf. 1334. *πρὶν ἂν — νόσου μαλαχθῇς* (l. *μεταστῇς*) *τῆσδε* posito. Eur. Or. 133.

466. *καιρὸς γὰρ καλεῖ πλοῦν*] Cf. 1415. *καιρὸς καὶ πλοῦς*. *πλοῦν — σκοπεῖν*] Cf. Eur. Hec. 901. *μένειν ἀνάγκη πλοῦν ὁρῶντας ἥσυχον* (*ἡσύχους* aut *οὔριον*?). Soph. Phil. 466. *στέλλεσθε*] Anglice 'are you setting out?' Cf. 1416.

467. *ἐξ ἀπόπτου*] 'At a long distance', i. e. 'long before'.

471. *οἷοις ὁρᾷς*] Qu. *οἷ' εἰσορᾷς*.

472. *ὅσοισί τ'* mss. Lege *οἵοισί τ'*.

474. *ἔξοιδα* mss. Lege *ἔστ', οἶδα*. Verbum substantivum aegre omitti posset.

477. *σοὶ δ' ἐκλιπόντι τοῦτ'* mss. Lege *σοὶ μὲν λιπόντι* (470.) *τόνδ'* (aut *μ' ἔστ'*) —.

478. *εὐκλείας γέρας*] Cf. Aj. 465. *στέφανον εὐκλείας*.

485. *προσπίτνω γόνασι*] I. e. *προσπίτνω γονυπετής*, 'I supplicate you on my knees'.

496. Qu. *μ' ἐκσῶσαι 'ς δόμους*. Cf. 488. *πρὸς οἶκον τὸν σὸν ἔκσωσόν μ' ἄγων*. Aj. 568. *πρὸς δόμους ἐμοὺς ἄγων*.

498. *μέρος* L. et plerique mss. et Suid. s. v. *στόλος*. *μέρει* A. pr. m. et Suid. s. v. *διάκονος*. Br. Erf. Qui accusativo *μέρος* favent conferunt Tr. 1215. *τὰ δ' ἄλλα πράξω, κοὐ καμεῖ τοὐμὸν μέρος*. Ant. 1062. *οὕτω γὰρ ἤδη καὶ δοκῶ τὸ σὸν μέρος*. Ipse ad alteram lectionem *μέρει* inclino. Cf. El. 1302. *καὶ τοὐμὸν ἔσται τῇδε*. Aj. 1313. *ὅρα μὴ τοὐμὸν ἀλλὰ καὶ τὸ σόν*. El. 252. (*τὸ σὸν*) *σπεύδουσ' ἅμα* | *καὶ τοὐμόν*. Aj. 124. *τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν*. Tr. 1068. O. R. 321. 626. Bene quidem diceretur *ἐν εὐχερεῖ ποιεῖσθαί* (aut *τίθεσθαί*) *τι*, i. e. *εὐχερές τι ποιεῖσθαι*, et *ἐν παρέργῳ ποιεῖσθαί τι*, i. e. *πάρεργόν τι ποιεῖσθαι*, non item *ἐν σμικρῷ τι ποιεῖσθαι* (non addito *μέρει*). Adde quod parum eleganter inter duos accusativos collocaretur dativus *ἐν σμικρῷ*.

500. *αὐτάγγελον*] Cf. 568. *αὐτάγγελον*.

503. *κεῖται*] Nonne *ἔχει* reponendum?

504. *ὁρᾶν*] Anglice to beware. Schol. *φοβεῖσθαι καὶ εὐλαβεῖσθαι*.

511. *τὸ κείνων κακὸν*] Injuriam tibi et Philocteti ab illis factam. Cf. 423. *τά γε* | *κείνων κάκ' ἐξήρυκε*.

520. *ὅταν δὲ πλησθῇς τῆς νόσου ξυνουσίᾳ*] Sub. *αὐτῆς*. Cf. Thuc. II. 51. 2. *ἕτερος ἀφ' ἑτέρου — θεραπείας ἀναπιμπλαμένοι — ἔθνησκον*.

521. *τοῖς λόγοις τούτοις*] I. e. *τῷ ταῦτα λέγοντι*. Qu. *τῷ λέγοντι τάδε*.

524. *αἰσχρὰ μέντοι*] Fort. *αἰσχρόν ἐστι*.

525. *πρὸς τὸ καίριον πονεῖν*] Qu. *πρὸς τὸ καίρι' ἐκπονεῖν*.

527. *κοὐκ ἀπαρνηθήσεται*] Et non recusabitur quominus fiat. Qu. *κοὐδὲν ἀρνηθήσεται*, quum non appareat in vulgata lectione quid sit verbi subjectum.

529. *βουλοίμεσθα* Herm. Wund. Cf. 325.

532. *ὥς μ' ἔθεσθε προσφιλῆ*] How greatly you have endeared yourselves to me (by your kindness).

539. *ἐπίσχετον μάθωμεν*] Similiter *φέρε καλέσω* 1452.

549. *ἤκουσα τοὺς ναύτας ὅτι* —] Cf. Aj. 1141. *σὺ δ' ἀντάκουσον τοῦτον ὡς* —. Eur. Or. 1557. *ἤκουσα τὴν ἐμὴν ξυνάορον* | *ὡς* —.

559. *φράσον ἅπερ ἔλεξας*] Explica quae dixisti. Cf. O. R. 655. *φράζε δὴ τί φῄς*.

565. *ἦ ταῦτα δὴ* —;] Cf. El. 385. *ἦ ταῦτα δή με καὶ βεβούλευνται ποιεῖν;*

587. *δεῖ δή σ' ἐμοί γ'* — mss. Corrigo *δεῖ δῆτ' ἐμοί σ'* —.

588. *κρύψαι πρὸς ἡμᾶς μηδὲν*] Usitatior locutio foret *κρύψαι ἀφ' ἡμῶν μηδέν.*

636. *ὁρίζῃ*] I. e. 'finibus praescriptis separet' (Dind.). Schol. *διίστησιν.* I. q. *ἀποχωρίζῃ.* Mirus verbi hujus usus.

666. Cf. El. 1090. *ζῴης μοι καθύπερθεν χειρὶ — τεῶν ἐχθρῶν.*

668. Cum composito *ἐξεπεύχομαι* cf. *ἐξεπᾴδω* O. C. 1194. *ἐξεμπολῶ* supra 303. *ἐξαπαλλάσσω* El. 1002. *ἐξαπόλλυμι* El. 588. *ἐξαποφθείρω* Tr. 713.

669. *ἀρετῆς*] Virtutis. *ἀρετή* (contractum ex *ἀνδρετή*), ab *ἀνήρ* derivatum ut 'virtus' a 'vir'.

684. *νοσφίσας*] Sc. *βίον.* Cf. Phil. 1427. *Πάριν — νοσφιεῖς βίου.*

714. *οἰνοχύτου πώματος*] Cf. Eur. Cycl. 66. *κρήναισι παρ' ὑδροχύτοις.* Fr. 892. *πώματος ὑδρηχόου.*

725. *Μηλιάδων νυμφᾶν*] Sic *Ἑλικωνιάδων* et *ναϊάδες.* Schol. *ἀντὶ Τραχινίων· περὶ τὴν Τραχῖνα γὰρ οἱ Μηλιεῖς.*

730. *ἐξ οὐδενὸς λόγου*] Absque ulla causa. Cf. O. C. 620.

777. *ὅπως* mss. Qu. *οἷα* (◡◡).

900. *δυσχέρεια τοῦ νοσήματος*] Cf. 473. *δυσχέρεια — τοῦδε τοῦ νοσήματος.*

957. *ἐφερβόμην*] Cf. Fr. 181 D. *ζῇ, πῖνε φέρβου.*

988. *ἀπάξεται*] Cf. 1029. *τί μ' ἀπάγεσθε;* O. C. 860.

1024. *διπλῶν στρατηγῶν*] Nonne *δισσῶν* —?

1032. Librarius aliquis fortasse in mente habebat v. 1077. *θεοῖς εὐξώμεθα.*

1068. *ἐμὲ ἄτιμον ἔβαλον*] Cf. Aj. 1333. *τόνδε — μὴ τλῇς ἄθαπτον βαλεῖν.*

1084. *λύπας*] Cf. 1194. *ἀλύοντα χειμερίῳ λύπᾳ.*

1093. *ὀξυτόνου*] Cf. El. 243. *ὀξυτόνων γόων.* Aj. 629. *ὀξυτόνους ᾠδὰς θρηνήσει.*

1155. *νῦν καλὸν*] Cf. El. 384. *νῦν γὰρ ἐν καλῷ φρονεῖν.*

1161. *κρατύνων*] Schol. *ἐγκρατὴς ὤν.*

1163. Interpunge sic, *πρὸς θεῶν, εἴ τι σέβει, ξένον πελάσσον*(?).

1188. *τί σ' — τεύξω —;*] Quid te faciam?

1190. *ἐπήλυδες*] Reduces.

1193. *οὔτοι νεμεσητὸν*] Cf. Hom. Il. 9, 523. *πρὶν δ' οὔτι νεμεσσητὸν κεχολῶσθαι.*

1194. *ὑπέρ τ' Ἀτρειδῶν*] *τ'* om. L. Pro *ὑπερ Ἀτρειδῶν τε.*

1201. *ἐμοῦ ποδὸς ἄρθρον*] Lege *ἐμὸν* —. Cf. 683. *ἡλίου τόδε — φάος.* O. R. 1032. *ποδῶν — ἄρθρα — τὰ σά.*

1205. *γένυν*] Anglice, hatchet. Cf. El. 196.

1206. *παλάμαι*] Anglice devices.

1207. *κρᾶτ'* mss. Lege *κῶλ'*.

1209. *φονᾷ*] I. e. *φονεύειν ἐπιθυμεῖ.*

1215. *λιβάδ'*] Schol. *τὴν τοῦ ἐπιχωρίου ποταμοῦ.* I. e. *τοῦ Σπερχειοῦ* (726.).

1217. *ἔτ' οὐδέν εἰμι*] Cf. Tr. 161. *ὡς ἔτ' οὐκ ὤν.*

1224. *λύσων* —] Cf. Arist. Ran. 691. *λῦσαι τὰς πρότερον ἁμαρτίας.*

1227. Similis versus est O. R. 862. *οὐδὲν γὰρ ἂν πράξαιμ' ἂν ὧν οὔ σοι φίλον.*

1229. Cf. Eur. Med. 37. *δέδοικα δ' αὐτὴν μή τι βουλεύῃ νέον.*

1265. *κακὸν τὸ χρῆμα*] Anglice 'this is a bad affair'.

1266. *πέμποντες*] Qu. *πέττοντες* (coquentes, concoquentes).

1294. *ὑπέρ τ' Ἀτρειδῶν*] De particulae *τε* collocatione cf. Aj. 53. O. C. 33.

1301. *μέθες με — χεῖρα*] Cf. O. C. 113.

1303. *ἀφείλον μὴ κτανεῖν*] Cf. Eur. Hipp. 1207. *ὥστ' ἀφῃρέθη | Σκείρωνος ἀκτὰς ὄμμα τοὐμὸν εἰσορᾶν.*

1304. Qu. *ἀλλ' οὔτ' ἐμοὶ τοῦτ' ἐστὶν οὔτε σοὶ καλόν.*

1316. Cf. Aesch. Pers. 298. *ὅμως δ' ἀνάγκη πημονὰς βροτοὺς φέρειν.*

1321. *οὔτε — τε*] Cf. 1363. El. 350. 1078. O. R. 652. O. C. 1397. Ant. 763.

1326. *ἐκ θείας τύχης*] Cf. 192. *θεῖα — παθήματα.*

1330. *ἔς τ' ἂν* Br. Erf. *ὡς ἂν* Herm. Dind.

1333. *τοῖν — Ἀσκληπιοῦ* Elmsl. *Ἀσκληπιδῶν* probabiliter conj. L. Lb. *Ἀσκληπιαδῶν* vulg. Sic *Ἑλικωνίδες* et *Ἑλικωνιάδες νύμφαι.*

1334. Cf. 463. *καί σε δαίμονες | νόσου μεταστήσειαν.*

1337. *γὰρ ἡμῖν* mss. *παρ' ἡμῖν* Elmsl. Recte.

1344. *ἕνα κριθέντ' ἄριστον*] Cf. Aj. 1340. O. R. 1380.

1350. *ἀπιστήσω*] Cf. O. R. 625. Tr. 1229.

1352. *ἀλλ' εἰκάθω δῆτ';*] Cf. El. 537. Eur. Or. 779. *ἀλλὰ δῆτ' ἔλθω;*

1361. *παιδεύει κακούς*] Cf. O. C. 969. *καίτοι σε Θῆβαί γ' οὐκ ἐπαίδευσαν κακόν.*

1382. Cf. Xen. Anab. VII. 7. 9. *καὶ ταῦτα λέγων οὔτε θεοὺς αἰσχύνει οὔτε τόνδε τὸν ἄνδρα, ὅς —.* *οὐ καταισχύνει* mss. Qu. *οὐδὲν αἰσχύνει.* Mox enim sequitur *αἰσχύνοιτο.*

1384. Lege *ὠφέλημ' ᾗ 'μοὶ τόδε.*

1385. *τοιόσδε*] I. e. *φίλος.*

1387. Lege *θρασύνεσθαι 'ν κακοῖς*. Cf. O. C. 592. *ὦ μῶρε, θυμὸς δ'* (del.?) *ἐν κακοῖς οὐ ξύμφορον*.

1407 sq. Haec sic supplet Porsonus, *εἴρξω πελάζειν* (*σῆς πάτρας. ΝΕ. ἀλλ', εἰ δοκεῖ | ταῦτα δρᾶν ὅπωσπερ αὐδᾷς*), *στεῖχε προσκύσας χθόνα*.

1413. *τὴν σὴν — χάριν*] Tui gratia. Cf. Tr. 485. *κείνου τε καὶ σὴν ἐξ ἴσου κοινὴν χάριν*.

1416. *κατερητύσων*] Cf. Hom. Od. IX. 31. *κατερήτυεν* (*με*) *ἐν μεγάροισιν*. XIX. 545. *ἣν στέλλει*] 'On which you are setting out'. Cf. 466.

1425. *ἀρετῇ τε* — mss. Lege *ἀρετῇ δὲ* —.

1428. *πέρσεις τε* — mss. Lege *πέρσεις δὲ* —.

1430. *Οἴτης πλάκα*] Cf. Tr. 273. *ἀπ' ἄκρας — πλακός*.

1432. *μνημεῖα*] Anglice souvenirs.

1436. *συννόμω*] Cf. Hom. Il. 5, 554. et 10, 297.

1443. *ἦ γὰρ* — mss. Wund. Dind. *οὐ γὰρ* — Br. Pors. Schaefer.

1450. Cf. 855. *οὖρός τοι, τέκνον, οὖρος*. 780. *γένοιτο δὲ | πλοῦς οὔριος*. 466. *καιρὸς γὰρ καλεῖ | πλοῦν — ἐγγύθεν σκοπεῖν*. Qu. *καιρός τοι* (aut *νῦν*) *πλοῦ 'σθ'*.

1452. *φέρε καλέσω*] V. Elmsl. ad Med. 1242. Her. 559.

1454. *ἔνυδροι λειμωνιάδες*] Irrigua prata tenentes vertit Wunder. *Νύμφαι ἅλιαι* memorantur 1470. Cf. Eur. Hel. 187. *νύμφα ναΐς*.

1461. *κρῆναι — ποτὸν*] Cf. 21. *κρηναῖον ποτόν*.

1463. *δόξης οὔ ποτε* —] De dactylo in secunda versus anapaestici sede cf. Tr. 1275. Elmsl. ad Med. 1050.

1466 sq. Cf. Eur. El. 1247. *τἀντεῦθεν δὲ χρὴ | πράσσειν ἃ Μοῖρα Ζεύς τ' ἔκρανε σοῦ πέρι*.

1467. *φίλων*] I. e. Neoptolemi ejusque navis nautarum.

HALIS, TYPIS ORPHANOTROPHEI.

EJUSDEM ADVERSARIA
IN
POETARUM COMICORUM GRAECORUM FRAGMENTA.

PARS I. SECUNDUM EDITIONEM MEINEKIANAM. 5 ℳ.
PARS II. SECUNDUM EDITIONEM KOCKIANAM. 7 ℳ.

TRAGICORUM GRAECORUM FRAGMENTA. 8 ℳ.

ADVERSARIA CRITICA IN AESCHYLUM. 8 ℳ.

ADVERSARIA CRITICA IN VARIOS POETAS GRAECOS AC LATINOS. 4 ℳ.

ADVERSARIA CRITICA IN ARISTOPHANEM. 3 ℳ.

ADVERSARIA CRITICA IN SOPHOCLEM. 5 ℳ.

ADVERSARIA CRITICA IN EURIPIDEM. 10 ℳ.

ADVERSARIA CRITICA IN HERODOTUM. 3,80 ℳ.

ADVERSARIA CRITICA IN THUCYDIDEM. 1,80 ℳ.

SPICILEGIUM TRAGICUM. 6 ℳ.

SPICILEGIUM ARISTOPHANEUM. 3 ℳ.

SPICILEGIUM SOPHOCLEUM. 10 ℳ.

ANALECTA COMICA GRAECA. 6,80 ℳ.

ANALECTA TRAGICA GRAECA. 3 ℳ.

AESCHYLI AGAMEMNON,
CUM ANNOTATIONE CRITICA ET COMMENTARIO. 8 ℳ.

AESCHYLI CHOEPHOROI. 6 ℳ.

AESCHYLI EUMENIDES. 3,60 ℳ.

SOPHOCLIS OEDIPUS REX. 2 ℳ.

SOPHOCLIS OEDIPUS COLONEUS. 2,40 ℳ.

SOPHOCLIS ANTIGONE. 2 ℳ.

SOPHOCLIS ELECTRA. 1,80 ℳ.

SOPHOCLIS AJAX. 2 ℳ.

MISCELLANEA CRITICA. 5 ℳ.

SINGULARIUM FABULARUM EDITIONES ANNOTATIONE CRITICA ET EXEGETICA INSTRUCTAE.

EDIDIT

FREDERICUS H. M. BLAYDES.

I.	THESMOPHORIAZUSAE	5 ℳ.
II.	LYSISTRATA	6 ℳ.
III.	ECCLESIAZUSAE	4 ℳ.
IV.	AVES	10 ℳ.
V.	PAX	6 ℳ.
VI.	PLUTUS	9 ℳ.
VII.	ACHARNENSES	10 ℳ.
VIII.	RANAE	10 ℳ.
IX.	NUBES	10 ℳ.
X.	EQUITES	9 ℳ.
XI.	VESPAE	9 ℳ.

XII. ARISTOPHANIS DEPERDITARUM COMOEDIARUM FRAGMENTA. Auxit, novo ordine digessit, recensuit, et annotatione partim sua partim aliorum selecta instruxit Fredericus H. M. Blaydes . . . . 9 ℳ.

ARISTOPHANIS COMICI QUAE SUPERSUNT OPERA.

RECENSUIT

FREDERICUS H. M. BLAYDES.

VOL. I.

UNDECIM FABULAS SUPERSTITES CONTINENS.

VOL. II.

FRAGMENTA ANNOTATIONE PARTIM SUA PARTIM ALIORUM SELECTA INSTRUCTA CONTINENS.

gr. 8. 16 ℳ.

Halis, Typis orphanotrophei.

